# ALEXANDRI APHRODISIENSIS

## QVAE FERVNTVR

---

## PROBLEMATORVM LIBER III ET IIII

Universitäts- und
Landesbibliothek Düsseldorf

## In adnotatione critica his notis usus sum

| | |
|---|---|
| A | codex Parisiensis 2047 A |
| B | Paris. 1884 |
| C | Paris. 2047 |
| D | Paris. 2381 |
| E | Paris. 1883 |
| G | Th. Gazae interpretatio Latina |
| M | Matritensis 84 (non 94 ut dicunt quidam) |
| N | Oxoniensis coll. noui 233 |
| O | Oxoniensis coll. corp. Christi 113 |
| P | Venetus Marcianus 521 |
| R | Venet. M. 257 |
| S | Venet. M. 259 |
| T | Mutinensis 110 (p. 1-2, 6) |
| V | p. 1-2, 6 Vindobonensis med. 4 cf. praef. p. XII<br>p. 14, 27 sqq. Georgii Vallae interpretatio Latina |

| | |
|---|---|
| Br | *Chr. A. Brandisii apographon (p. 1-2, 6 cod.* T; *p. 2, 7 sqq.* S) *discrepantia e libris* NOPR *non enotata* |
| Bussem. | *scriptura Bussemakeri e libris msc. non petita* |
| ci. Bussem. | *coniectura Bussem. in praefatione proposita* |
| Δ | *scriptura editionis Parisiensis e libris petita* |
| Δ i. e.<br>Δ sc | *scriptura ed. Paris. dissentientibus Bussemakeri libris* |
| U | *ego scripsi.* |

---

## Problematorum numeri editionis Parisiensis a meis sic discrepant

| | | | | | |
|---|---|---|---|---|---|
| *ed. Par.* sectionis | I | pr. 1 - 22 | = | *huius ed.* libri III | pr. 1 - 22 |
| | II | 1 - 69 | = | . . . . IIII | 1 - 69 |
| | | 69* | = | . . . . . . | 70 |
| | | 70-105 | = | . . . . . . | 71-106 |
| | | 105* | = | . . . . . . | 107 |
| | | 106-128 | = | . . . . . . | 108-130 |
| | | 128* | = | . . . . . . | 131 |
| | | 129-163 | = | . . . . . . | 132-166 |
| | | 163* | = | . . . . . . | 167 |
| | | 163** | = | . . . . . . | 168 |
| | | 164-183 | = | . . . . . . | 169-188 |
| | | 183* | = | . . . . . . | 189 |
| | | 184-186 | = | . . . . . . | 190-192 |
| | III | 1 - 45 | | . . . . . . | desunt |
| | | 46-47 | | . . . . . . | praef. p. VIII |
| | | 48 | | . . . . . . | praef. p. VIIII |
| | | 49-52 | | . . . . . . | desunt. |

---

Universitäts- und
Landesbibliothek Düsseldorf

# [ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ]

## ΦΥΣΙΚΩΝ ΑΠΟΡΗΜΑΤΩΝ ΚΑΙ ΙΑΤΡΙΚΩΝ ΠΡΟΒΛΗΜΑΤΩΝ

## Γ.

[Οἱ μὲν πλεῖστοι τῶν παλαιοτέρων ἰατρῶν σποράδην ἔξηῦρόν τινα τῆς ἰατρικῆς, ἐκ κληδόνων ἢ τριόδων συνάγοντες καὶ ἀπὸ τύχης ἢ μαντείας ἢ κλήσεως δαιμόνων ἢ ἄλλῳ τινὶ τρόπῳ. Ἱπποκράτης δὲ ὁ τῶν Ἀσκληπιαδῶν ταύτην ὡς ἂν εἴποι τις πλαζομένην συνάξας καὶ τελείως ὑφάνας πλήρη καὶ ἀρτίαν εἰργάσατο κεφαλὴν ἐπιθείς· καὶ οὐκ ἄν τις ἁμάρτοι λέγων, ὡς ὁ προνοητικὸς θεὸς ἐλεήσας τὸ ἀνθρώπινον γένος ἀλλεπαλλήλοις νόσοις ἀπολλύμενον αὐτὴν τὴν φύσιν σαρκώσας Ἱπποκράτην κατήγαγε πρὸς ἀρτίαν ταύτης παράδοσιν. ἴσως γὰρ καὶ τοῦτο αἰνίττεται κατὰ τὸ προοίμιον τῶν Ἀφορισμῶν λέγων, ὡς 'ἐπειδὴ κατὰ τὴν πεῖραν ἡ ἰατρικὴ σχεδὸν ἀκατάληπτός ἐστιν (οὔτε γὰρ ὅτε βουλόμεθα, τοῖς πάθεσι τῶν ἀνθρώπων ἐντυγχάνουσιν οἱ ἰατροί· τύχῃ γὰρ καὶ τῷ σπανίῳ τῆς γενέσεως δουλεύει ταῦτα), ἔτι γε μὴν καὶ ἐπικίνδυνος τῷ ἐν σώματι ῥευστῷ μὲν διὰ τὴν ὕλην καὶ ἀβεβαίῳ κεκτημένῳ δὲ καὶ θείαν δύναμιν ψυχικὴν γυμνάζεσθαι τὴν ἰατρικὴν τέχνην καὶ οὐκ ἀψύχῳ καὶ ἀτίμῳ καθάπερ τὰς ἄλλας τέχνας, πρὸς δὲ τούτοις καὶ τὰ πάθη ὑπὸ πολλῶν αἰτίων γεννᾶσθαί τε καὶ αὐξάνεσθαι καὶ διὰ τοῦτο δυσχεραίνειν τὴν πεῖραν ἐν τῷ διακρίνειν τὸ ποιητικὸν αἴτιον· φέρε τῷ λόγῳ ψιλῷ χωρὶς ὑποκειμένης ὕλης ἀσωμάτως πᾶσαν περιλαβὼν ἐν ὀλίγῳ χρόνῳ διδάξω καὶ διὰ τοῦτο καὶ ἐπιστημονικὸν λόγον ἔχειν ποιήσω, καὶ τὰς αἰτίας πάσας ὑποθήσομαι σὺν ταῖς διαγνώσεσι πρὸς τὸ σὲ λοιπὸν τῇ πείρᾳ γυμνάζειν τὸν λόγον, τότε δ' ἄν σοι κατὰ τύχην περιπέσῃ τι πάθος ἐφαρμόζειν τὸν λόγον καὶ γυμνάζειν καὶ ἀληθῆ τοῦτον εὑρίσκειν'. Τὸ δὲ μέγιστον τοῦ ἀνδρός, ὅτι οἱ παρ' αὐτοῦ λεγόμενοι Ἀφορισμοὶ οὐχ ἁρμόζουσι μόνον ἰατρικῇ ἀλλὰ καὶ κοινῶς παντὶ τῷ βίῳ· νόμοι γάρ εἰσι καθολικοὶ θεσπίζοντες καὶ κανονίζοντες τὰ γινόμενα· ὡς ὅταν λέγῃ 'ἐν τοῖσι γυμναστικοῖσι αἱ ἐπ' ἄκρον εὐεξίαι σφαλεραί' καὶ 'πᾶν τὸ πολὺ τῇ φύσει πολέμιον' καὶ 'ὕπνος ἀγρυπνίη μᾶλλον γιγνόμενα τοῦ μετρίου κακόν', καθολικὸν δίδωσιν ἡμῖν κανόνα καὶ νόμον ἐπὶ παντὸς πράγματος, ὡς πᾶν μέτρον ἄριστον· καὶ πάλιν 'τὰ μὴ καθαρὰ σώματα ὁκόσῳ ἂν θρέψῃς μᾶλλον βλάψεις', ὃ δύναται καὶ ἐπὶ ψυχὴν μεταφέρεσθαι· οὕτω γὰρ ὁ θεῖος Πλάτων ἔφη 'τὰς μὴ καθαρὰς ψυχὰς ὅσῳ

DISCREPANTIA SCRIPTVRAE. 1-2 ita NT. Ἀριστοτέλους ἰατρικῶν προβλημάτων καὶ φυσικῶν ἐκλογαί M. ἐκλογαί add. etiam T ‖ 3 τόμος γ̄ NT τὸ γ̄ M Ἀριστοτέλους περὶ ζώων ἰδιότητος γ̄ P Ἀριστ. π. ζ. ἰδ. ἐπιγράφεται. προοίμιον et in mg. rubris litteris ἔοικεν γὰρ ἀριστοτέλει M i. e. C. Lascaris ‖ 4 ἐξεῦρον V ‖ 5 δαιμονίων T ‖ ἄλλῳ τινὶ τρόπῳ U ἄλλων τινῶν τρόπων libri ‖ 7 ὑφαίνας M ‖ 8 ἐλέησε et ἄλλ' ἐπ' ἀλλήλοις V ‖ αὐτὴν om V ‖ 9 αἰτίαν S ‖ ταύτην P ‖ 10 respicit verba Hippocr. p. 706 ed. Kühn. ἡ δὲ πεῖρα σφαλερή, ἡ δὲ κρίσις χαλεπή ‖ τὸ ante προοίμ. om S ‖ ἡ ins. U ‖ 11 σχηδὸν M ‖ οὔτε: f. οὐδὲ ‖ 12 οἱ om M ‖ 13 θέραν T θεῖαν V ‖ 14 ἀψύκῳ M ‖ ἀθύμῳ V ‖ 15 αἰτιῶν Br ‖ 16. 17 ὑποκερμένης T ‖ 18. 19 πρὸς τῷ V προστῷ S ‖ 19 τῆς πειρᾶς T ‖ τότε U ὅτε BrV ὅταν M ‖ περιπέσοι P ‖ 20 ἐφαρμόζων — γυμνάζων — εὑρίσκων libri ‖ 21 μόνον P μόνῃ reliqui ‖ 22 ὡς V om reliqui ‖ ἐν — 23 σφαλεραί aph. I 3 p. 706 ‖ 23 γυμναστικοῖσιν MV ‖ πᾶν — 24 πολέμιον aph. III 52 p. 719 ‖ 23 πᾶν U πάλιν libri ‖ 24 ὕπνος — κακόν aph. II 3 p. 712 ‖ ὕπνος ἀγρ. S ὕπνος καὶ ἀγρ. reliqui ‖ γινόμενα Br ‖ 25 δίδωσιν MPSV διδοὺς T ‖ 26 τὰ — βλάψεις aph. II 10 p. 713 ‖ ὅσῳ MT ‖ βλάψῃς (S)T ‖ 27 περὶ ψυχῆς BrM ‖ Πλ. non Plato sed Platonicus aliquis



Universitäts- und
Landesbibliothek Düsseldorf

ἂν παιδεύσῃς μᾶλλον βλάψεις, τῆς γὰρ ἀσωμάτου ψυχῆς ἀσώματος τροφὴ παίδευσις'. καὶ ἐπὶ ἄλλων δὲ ἀφορισμῶν τὸ εἰρημένον κρίνων εὑρήσεις. ἔχουσι δὲ καὶ τὸ διωρισμένον καὶ τὸ συνεχές, ὃ καὶ αὐτὸ τελείας ἀρετῆς ἐστι σύμβολον· ὡς γὰρ ἐπὶ τῶν γραμμικῶν, καὶ ἐπ' αὐτῶν εἰ οὕτως ἔτυχεν ὁ πέμπτος τὸν τέταρτον σαφηνίζει καὶ ὁ τέταρτος τὸν τρίτον καὶ ὁ τρίτος τὸν δεύτερον καὶ ὁ ἐφεξῆς ὡσαύτως· καὶ προβαίνων σαφῶς τοῦτο ποιεῖται τὴν τάξιν φυλάττων τοῦ λόγου καὶ τὸ ἀκόλουθον τῆς αἰτίας ἐπὶ ἡλικιῶν ἢ ὡρῶν καὶ παθῶν καὶ τῶν παραπλησίων.]

α Διὰ τί τῶν ἐν γάλακτι τρεφομένων ἀλεκτρυόνων οἱ ὄρχεις εὐμεγέθεις καὶ εὔπεπτοι γίνονται; p. 291 Buss. Ὅτι τὸ αἷμα ἔχει ἐν αὐτῷ ὀρρόν, ὅνπερ ἕλκει ὁ νεφρὸς κατ' ἔλλειψιν τοῦ ὑγροῦ οὖρον ὄντα· ἔχει δὲ καὶ θορόν, ὅνπερ οἱ ὄρχεις ἕλκοντες τρέφονται, ὃς παχύτερός ἐστιν οὔρου, λεπτότερος δ' αἵματος, ὃ καὶ σχῆμά ἐστιν αὐτοῦ· ἀλλ' ἕως μὲν ἡ φύσις πολλῆς δεῖται τροφῆς, ὡς ἐπὶ παιδίων, καὶ τὸν θορὸν εἰς τὸ πᾶν ἀναλίσκει σῶμα· ὅτε δὲ οὐ χρείαν ἔχει πολλῆς, τοῦτον περὶ τὸ ἡβάσκειν περὶ τοὺς ὄρχεις συνάγει τῶν τε θηλειῶν καὶ τῶν ἀρρένων, ὡς ἔστιν ἰδεῖν τότε τοὺς ὄρχεις εὐρυνομένους καὶ τρίχας φυομένας περὶ τὴν ἥβην. ἔπειτα δὲ μετὰ τὴν σύλληψιν τοῦ θήλεος ἡ φύσις χρείαν ἔχουσα πολλοῦ αἵματος πρός τε τροφὴν τῷ βρέφει καὶ πρὸς γάλακτος γένεσιν, τοῦτον τὸν θορὸν ἀπὸ τῶν ὄρχεων λαμβάνουσα πάλιν ἀναμίγνυσι τῷ αἵματι καὶ οὕτως ἀπεργάζεται τὸ γάλα. οἱ οὖν ὄρχεις τῶν ἀλεκτρυόνων πλέον ἕλκουσιν ἐκ τοῦ γάλακτος τοῦ βρωθέντος ὑπὸ τοῦ ἀλεκτρυόνος διὰ τὴν ὁμοιότητα καὶ ὅτι τὸ οἰκεῖον ἑαυτῶν, τὸν θορὸν λέγω, πάλιν εὑρίσκουσιν ἐν τῷ γάλακτι, καὶ οὕτω γίνονται εὐτραφεῖς οἱ ὄρχεις καὶ εὔπεπτοι καὶ τρόφιμοι.

β Διὰ τί, εἰ τὸ δριμὺ ἀπὸ πολλῆς γεννᾶται θερμότητος, τὸ δριμείας ποιότητος μετέχον μέλι ἐπαινοῦσιν, εἴ γε καὶ μετρίως αὐτὸ βούλονται εἶναι θερμόν; Φημὶ ὅτι οὐκ ἀφ' ἑαυτοῦ ἐστι δριμύ, ἀλλ' εὔκρατον, ἡ δὲ γλῶσσα τῇ οἰκείᾳ θερμότητι θερμαίνουσα αὐτὸ πλέον ἐπὶ τὸ δριμὺ μετάγει· πᾶν γὰρ γλυκὺ θερμαινόμενον πρῶτον μὲν δριμὺ γίνεται, ὕστερον δὲ ὑπερθερμαινόμενον ἄγαν πικρὸν ἀποτελεῖται. Τὸ δὲ σάκχαρον παρὰ τοῖς Ἰνδοῖς οὕτω λεγόμενον μέλιτός ἐστι πῆξις, τοῦ ἡλίου τὴν ἐν τῷ ἀέρι δρόσον πηγνύοντος ἐπὶ τὸ γλυκύ, ὥσπερ καὶ ἐν τῷ ὄρει τῷ Λιβάνῳ καλουμένῳ γίγνεται τοιοῦτον· ἔστι δὲ ὅμοιον χόνδρῳ ἅλατος, λευκὸν εὔθρυπτον γλυκύ. ἔστι δὲ ῥυπτικῆς καὶ αὐτὸ δυνάμεως ὁμοίως τῷ μέλιτι τῷ μετέχειν ἰχωροειδοῦς τινος ῥύψεως, ὅθεν καὶ ἑψόμενον καὶ τοῦτο μεταβάλλον οὐκέτι μὲν σμήχει ὡς τὸ ἄνεφθον, τρέφει δὲ μᾶλλον ἐσθιόμενον ἢ ἔξωθεν ἐπιτιθέμενον. ἔστι δὲ καὶ ἑτέρα διαφορὰ μέλιτος χαλβανόριον λεγόμενον, τῶν μελισσῶν βοσκομένων ἐν ἐκείνῳ τῷ ὄρει τὰ ἄνθη, ἐν ᾧ καὶ χαλβάνη γίνεται, καὶ τοῦ μέλιτος μεταλαμβάνοντος τῆς ποιότητος, ὅπερ δύναται πρὸς

1 βλάψῃς T ‖ 4 σαφηνίζετο T ‖ 5 ὁ om V ‖ 6 ἐπ' ἡλ. Br ‖ ἢ παθῶν ἢ Br ἢ παθ. καὶ V ‖ 7 τῶν ἐν τῷ γ. S(NO) *quos lacte saginant* G ἐν inclusit Bussem. ‖ εὔπετοι O ‖ 8 ὅπερ Br ‖ τοῦ ὑγροῦ οὖρον ὄντα U τοῦ ὑ οὖρον ὂν Br τοῦ οὔρου Δ κατ' — ὄντα non intellecta ut solet om G ‖ 9 ὃς: ὡς O ‖ 11 ὅτε U ὅταν libri ‖ ἔχῃ Δ ‖ πολλὴν NO ‖ τοῦτον: an τουτέστι? ‖ 12 τὸ om O ‖ τῶν τε — ἀρρ. om G θελείων Br ‖ 13 ἔπειτα U ἐπειδὴ libri ‖ 14 ἔχουσα ΔP ἔχει S(NO) ‖ 15 ὀρρὸν S(NO) ‖ λαμβάνουσι S(NP) ‖ πάλιν BrG om Δ ‖ 16 ὄρχεις: hic inchoat A ‖ πλέων A ‖ 17 τῶν ἀλεκτρυόνων M ‖ ἑαυτοῦ P ἑαυτὸν A ‖ 18 πάλιν om MS(NO) ‖ εὑρίσκουσα P ‖ 19 τρόφημα A ‖ γεν. post δριμὺ Δ ‖ τὸ OS τὸ δὲ ΔNP ‖ 19. 20 δριμεῖαν μετέχον ποιότητα S ‖ 20 καὶ om A ‖ 21 οὐ καθ' ἑαυτ. A ‖ γλῶττα Δ ‖ τῇ om A ‖ 22 πρῶτον — 23 ὑπερθερμ. om S ‖ 23 σάκχαρον N σάγχαρον S(P) σάκχαρ Δ ‖ 24 πηγνύοντες N ‖ 24. 25 τῷ γλυκὺ ὥσπερ A ‖ 25 καλουμένῳ om MS(N) ‖ 26 ὁμοίως om AM ‖ 27 ἰσχυροειδοῦς AS(N) ‖ ἑψομένου A ‖ f. καὶ κατὰ τ. ‖ μεταβαλλῶν A ‖ 28 διαφθορά A ‖ 29 λεγομένου S(P) ‖ 29. 30 ἐν οἷς καὶ χαλβάνοις A ‖ 30 μέλιτος λαμβάνοντος Δ

Universitäts- und Landesbibliothek Düsseldorf

ἀμβλυωπίαν ἐγχριόμενον ποιεῖν, θερμῆς μᾶλλον δυνάμεως ὄν. ὁμοίως καὶ τὸ θύμων ὄζον ποιεῖ πρὸς ψυχρὰν γαστέρα· καὶ τὸ Ποντικὸν ἀψινθίου πικρὸν ὄν, καὶ πρὸς τὴν διαφορὰν τῆς ποιότητος καὶ ἡ δύναμις αὐτοῦ. τὸ δ' Αἰγύπτιόν ἐστιν ὑγρὸν καὶ ὑδατῶδες τῷ πολλῆς μετέχειν ὑγρότητος τὰ ἄνθη ἐπὶ πολὺ ποτιζόμενα τῷ ποταμῷ. τὸ δὲ πάντων ἄριστον τὸ νησιωτικὸν καὶ τῶν παραθαλαττίων ὀρῶν καὶ τόπων, ὡς ἀπέριττον καὶ ξηρότερον, καὶ τὸ Ὑμήττιον μάλιστα ἐν τῷ Ὑμηττῷ ὄρει τῆς Ἀττικῆς ἔχοντι ἄνθη βοτανῶν καὶ δένδρων εὐώδη καὶ καθαρὰ καὶ εὔχροα καὶ λεπτομερῆ. Διὰ τί τὸ γάλα ψυχρόν ἐστι καὶ τοιοῦτον ὂν εὐαλλοίωτον καὶ τρό- γ
φιμον ὑπάρχει; Λέγω ὅτι καὶ καθὸ ἐξ αἵματος μετεβλήθη, κατὰ τοῦτο πάλιν ἐπὶ τοῦτο ῥᾷον
292 μετέρχεται τὸ γάλα καὶ σχεδὸν αἷμά ἐστι λελευκωμένον. ὁμιλοῦν δὴ τῷ ἀέρι πλέον ψύχεται· βδαλλόμενον δ' ἔτι ποσῶς θερμόν ἐστι, μὴ ὁμιλοῦν τῷ ἀέρι, καὶ σώζει τὴν οἰκείαν δύναμιν, καθάπερ καὶ τὸ σπέρμα· λευκὸν δὲ καὶ ψυχρὸν ποσῶς ἐστιν, ὅτι ὑπ' ἀδένων λευκῶν καὶ ἀναίμων καὶ ἧττον θερμῶν τῶν ἐν τοῖς μαστοῖς μεταβάλλεται. Οὐ δεῖ δὲ αὐτὸ πυτίᾳ πηγνύειν· κακοστόμαχος γὰρ καὶ δυσανάδοτος· ἀλλὰ μᾶλλον ὀπῷ συκῆς ἢ ἐχίνῳ ὄρνιθος πλῦναι ἢ κνήκῳ. Ἡ μέντοι πτισάνη εὐαλλοίωτος μέν, ἀλλ' ἧττον τρόφιμος· ὁ δὲ χόνδρος τοῦ ἄλικος τρόφιμος μέν, δυσαλλοίωτος δέ, ὅθεν καὶ ὀξυμέλιτι ἐσθίεται τριβείς. Διὰ τί τὰ δ
ἐν πνεύμονι ἕλκη ἀνίατα; Πρῶτον μὲν ὅτι πᾶν τὸ δεόμενον ἰάσεως ἠρεμίας δεῖται· εἶπε γὰρ Ἱπποκράτης ὡς 'ποδὸς ἄκος ἀκινησίη'· ἡ γὰρ κίνησις σύρροιαν ποιεῖ χυμῶν περιττῶν, οὗτοι δὲ φλεγμονάς· ὁ δὲ πνεύμων ἀεικίνητος διὰ τὴν ἀνάγκην τῆς ἀναπνοῆς. ἄλλως τε τὸ ἕλκος ἀεὶ ἐπίπαγον ποιοῦν δεῖται ἀνακαθάρσεως· οὐ δύναται δέ, εἰ μὴ μόνῃ βηχί, ἀνακαθαίρεσθαι, ἡ δὲ βὴξ σύντονος οὖσα κίνησις σπαράσσει τὸ ἕλκος καὶ ἀνευρύνει. ἄλλως τε ὑγρὸν καὶ θερμὸν τὸ μόριον καὶ εὔσηπτον, καὶ βρόγχιον τοῦ πνεύμονος ἀναβρωθὲν οὐ δύναται γενέσθαι, εἰ μὴ ὑπὸ μόνης φύσεως πάλιν ἐκ σπέρματος. Διὰ τί οἱ φρενιτικοὶ ἐν μὲν τῷ πάθει ἰσχυροί, ε
ἀπαλλαγέντες δὲ ἀσθενεῖς; Ὅτι ξηρὰ δυσκρασία κατέχει τὸν ἐγκέφαλον καὶ τὰ νεῦρα, αὕτη δὲ τόνον δίδωσι τοῖς νεύροις πρὸς ἐνέργειαν. ὕστερον μέντοι ἀπαλλαγέντες αἰσθάνονται λοιπὸν τοῦ κόπου, τῆς διακριτικῆς διανοίας καθαρᾶς ἐπεισηκούσης τοῖς πάθεσι, καὶ ἐνυγρανθέντα δὲ τὰ νεῦρα μαλακὰ γίνονται καὶ ἀσθενῆ. Διὰ τί οἱ πετραῖοι ἰχθύες εὔπεπτοι; Ἐπειδὴ πᾶν ς
τὸ πρὸς ταῖς πέτραις ὕδωρ καὶ γαλήνης οὔσης κινεῖται· σκληρὸν γὰρ καὶ μαλακὸν ἐναντιότητα ἔχοντα πρὸς ἄλληλα οὐ δύναται ἡσυχάζειν ἀλλήλοις ὁμιλοῦντα, τὸ δὲ κινούμενον λεπτότερον

1 θύμον M ‖ ὄζον Br ὁ ζῶον A ὄξος M ‖ 2 ἀψινθίου U (cf. de aps. Pont. Theophr. h. pl. VIIII 17, 4) ἀψίνθιον (ἀψίθ. N) libri incl. Bussem. ‖ 3 pr. καὶ om Δ ‖ 4 ὑγρότ. τέλον ἄνθυ A ‖ 5 παραθαλασσίων Δ ‖ ὄρων Br ‖ ἀπερίττων καὶ ξηροτέρων Br (sed ξηροτέρῳ) M ‖ 5 ὑμήτιον Br ‖ 6 μαλιστα post Ἀττ. Δ ‖ ἐν — Ἀττ. om A ‖ ὑμητῷ Br Ὑμηττίῳ Δ ‖ 6. 7 ἄνθη εὐώδη καὶ λεπτομερῆ. A καθ. καὶ om Δ ‖ 7 τοιοῦτον ὄν et καί om A ‖ 8 ὑπάρχον A ‖ Ὅτι καθ' ὃ Δ i. e. A. ‖ 8. 9 κατὰ τ. ῥᾷον μ. εἰς αἷμα Δ (i. e. A) G ‖ 8 πάλιν om M ‖ 9 τὸ γάλα U τὸ αἷμα BrM ‖ ἐστι λευκαινόμενον ὑπὸ φύσεως. Δ i. e. solus A ‖ δὴ U δὲ libri ‖ 10 βαλλόμενον MS ‖ δ' ἔτι Δ δέ τι N δέ τοι MS(P) ‖ 11 καθάπερ ABr ὡς Δ ‖ δὲ om A ‖ 12 τῶν ABr ὄντων Δ ‖ πιτύᾳ Br ‖ 14 πλύναι Br πλύνας Δ πλήσεις M πλύναντα ci. Buss. ‖ κνίκῳ Br ‖ 15 τοῦ γάλακτος N ‖ 16 ἐν τῷ πν. Δ i. e. A ‖ 16. 17 δεῖται, ὡς καὶ τό· ποδὸς Δ i. e. A ‖ 17 Ἱππ.? cf. uol. III p. 308 ‖ ὡς om B ‖ ἀκινησία A ἀκινησείη B ‖ 19 ἐπὶ παγοποιοῦ P ἐπὶ παγοποιου οὐ A (unde ἐπίπ. ποιοῦν οὐ Bussem.) ἐπιπαγοποιοῦ οὐ M ἐπίπαγον ἐμποιοῦ οὐ B ἐπὶ ποιοῦ οὐ S ἐποιοῦ οὐ N ‖ μόνῃ U μόνον ἢ Br BM om Δ i. e. A ‖ 20 ἀναβρύει B ἀνα . . . . A ‖ 21 τὸ ante βρ. ins Bussem. ‖ βρογχίου A ‖ πνεύματος N ‖ 22 μὴ ὑποκειμένης φ. B ‖ φρενητικοὶ S ‖ 23 αὐτὴ P ‖ 25 ἐπεισηκούσης U ἐπιστηκούσης ABr ἐπιστησάσης M ἐπιστοιχούσης Bussem. ‖ 26 γίνεται Δ ‖ 27 οὔσης om N ‖ 28 πρὸς ἄλληλα om Δ ‖ δύναται E

γίνεται τοῦ ἠρεμοῦντος. καὶ οἱ ἰχθύες οὖν τῷ ὕδατι συγκινούμενοι ἀπέριττοι γίνονται. Τῷ
ζ αὐτῷ τρόπῳ καὶ αἱ πτέρυγες συνεχῶς κινούμεναι εὔπεπτοί εἰσιν. Διὰ τί ἐπὶ τῶν συνεχῶν
πυρετῶν ἐν ταῖς παρακμαῖς οὐ λούομεν αὐτούς; Ὅτι οἱ παρὰ φύσιν χυμοὶ ἄπεπτοί εἰσιν ἔτι
καὶ παχεῖς καὶ ἀντεχόμενοι τῶν σωμάτων, οἱ δὲ κατὰ φύσιν λεπτοὶ καὶ εὐδιάρρυτοι. τὸ θερμὸν
οὖν τοῦ λουτροῦ ἑλκύσει τῇ βίᾳ προτέρους ὡς λεπτοὺς τοὺς κατὰ φύσιν ἐν ἀρχῇ τοῦ νοσή-
η ματος, ἐὰν καὶ ἐν ἀπεψίᾳ λούσωμεν. Διὰ τί ἐπὶ τῶν ἑκτικῶν ὕδωρ παρέχουσιν οἱ ἰατροὶ
πρὸ τῆς τροφῆς βραχύ; Ἵνα τὰ κατεξηραμμένα στερεὰ μόρια προϋγράνωσι, καὶ ἐπιτήδειαι
γένωνται πρὸς φύσιν *προσφοραὶ* στερεᾶς τροφῆς· οὕτω γὰρ καὶ οἱ κονιαταὶ προσραίνουσι
θ τὸν τοῖχον ὕδατι καὶ οὕτω χρίουσι τὴν κονίαν. Διὰ τί τὰ γλυκέα αὔξει σπλῆνα καὶ
ἧπαρ; Ὅτι τὸ μὲν ἧπαρ τῇ ὁμοιότητι τῆς κράσεως ἕλκει ῥᾷον τὰ γλυκέα· θερμὰ γὰρ καὶ
ὑγρὰ ἀμφότερα· ὁ δὲ σπλὴν ἕλκων τὸ τρυγῶδες τοῦ αἵματος ἐκ τοῦ ἥπατος συνεφέλκεται
καὶ αἷμα πλεῖον τῷ εἶναι †πλῆθος, τοῦτο δὲ γίγνεται μᾶλλον, ὅταν ἐρρωμένην ἔχῃ τὴν ἑλκτι-
ι κήν· ἀπὸ γὰρ τοῦ ἐπισπᾶν καὶ σπλὴν εἴρηται. Διὰ τί οἱ τὸν κρόταφον πληγέντες σφοδρῶς
ἀπόλλυνται; Ὅτι ὁ μῦς οὗτος ἐξ αὐτοῦ τοῦ ἐγκεφάλου ἐκπέφυκεν, ὅθεν καὶ πλησίον αὐτοῦ
ὑπάρχει. συμπάσχων οὖν ὁ ἐγκέφαλος καὶ συναλγῶν καὶ συναπολαύων τῆς πληγῆς συστέλ- 293
λεται, σὺν αὐτῷ δὲ καὶ τὸ ψυχικὸν πνεῦμα πιλοῦται καὶ παχύνεται, καὶ οὕτως ἡ ψυχὴ μὴ
εὐποροῦσα τοῦ ἐπιτηδείου ὀργάνου ἀφίπταται ἐκ τοῦ σώματος· δεσμοῦ γὰρ φθορὰ λύσιν τῶν
ια συμπλακέντων ἀποτελεῖ. Διὰ τί οἱ ἐμβρόντητοι ἀπόλλυνται, ἢ νωθοῦνται καὶ ἀνόητοι γί-
νονται; Τῷ αὐτῷ πάλιν λόγῳ· ὁ γὰρ ἄμετρος κτύπος τῆς βροντῆς διὰ τῆς ἀκοῆς εἰσιὼν πρὸς
ἐγκέφαλον πλήττει πάλιν σφοδρῶς τὸν ἐγκέφαλον καὶ τὸ ψυχικὸν πνεῦμα, καὶ τοῦτο πάλιν
συστέλλεται καὶ παχύνεται καὶ ἀνόνητον ψυχῇ γίνεται πρὸς ἐνέργειαν. εἰ δ' ἀμέτρως
παχυνθείη, καὶ χωρισμὸν ποιεῖται τῆς ψυχῆς καὶ τοῦ σώματος καὶ διὰ τοῦτο θάνατον.
ιβ Διὰ τί τοῦ ᾠοῦ τὸ μὲν λεκιθῶδες εὔπεπτόν ἐστι, τὸ δὲ λευκὸν δύσπεπτον; Ὅτι τὸ μὲν
χρυσοειδὲς θερμόν ἐστι, τὸ δὲ λευκὸν ὑγρὸν καὶ ψυχρόν. Γίνωσκε γὰρ ὡς ἔστιν ἐκ τεσσάρων
στοιχείων· τὸ μὲν γὰρ ὀστρακῶδες ἔοικε τῇ γῇ ξηρὸν καὶ ψυχρὸν ὑπάρχον, τὸ δὲ ὑγρὸν τῷ
ὕδατι ὑγρὸν καὶ ψυχρὸν τυγχάνον, τὸ δ' ἐν αὐτῷ πνεῦμα τῷ ἀέρι ὑγρὸν καὶ θερμόν, τὸ δὲ
λεκιθῶδες τῷ πυρὶ θερμὸν καὶ μετρίως ξηρόν· μετέχει δὲ καὶ τῆς χροιᾶς τοῦ πυρός, καὶ εἴ
μοι συγχωροίης εἰπεῖν, ἔοικεν εἶναι μίμημα κόσμου· καὶ αὐτὸ γὰρ σφαιροειδές, ἐκ στοιχείων
ιγ τεσσάρων, μετέχον καὶ δυνάμεως ζωτικῆς. Διὰ τί τῶν κολικῶν ἡ κόπρος βολβιτώδης;

1 οἱ om E ‖ οὖν ἐν τῷ M ‖ 2 λόγῳ καὶ τρόπῳ E ‖ κινούμενα E κινούμενοι Δ ‖ 2. 3 ἐπὶ — πυρετῶν om B ‖ 3 λύομεν P ‖ 5 βίᾳ πρὸς πόρους B ‖ 5 ἐν — 6 λούσ.: *neque per id tempus tantum quo morbus minuitur, uerum etiam quo incipit, et omnino quo materia minus concocta est* G fort. *τὸ δ' αὐτὸ γίνεται* καὶ ἐὰν ἐν ‖ 6 καὶ om M ‖ 7 κατεξηραμένα Br ‖ *humefiant* G ‖ ἐπιτήδειαι Br: ἐπιτήδεια ΔG ‖ 8 πρὸς φύσιν στερ. libri *ad — agglutinationem agnationemque* G 'An leg. εἰς (uel πρὸς) πρόσφυσιν?' Bussem. ‖ 9 τὸν σπ. καὶ τὸ ἧπ. M ‖ 10 Ὅτι om ABr διότι E ‖ 12 πλέον EM ‖ fort. πλαδαρός ‖ μᾶλλον om BMN ‖ ὅτι ἐρρ. ἔχει ci. Bussem. ‖ 13 ἐσπᾶν B ‖ 13. 14 σφ. εὐθὺς ἀπ. D ‖ 14 καὶ πλησίον ΔN διπλησίον S(P) πλησίον D ‖ 15 ὁ γοῦν ἐγκέφ. συμπ. καὶ P ‖ 16 φυσικὸν M ‖ παχύνεται BrG πλατύνεται Δ ‖ 17 σώματος ὡς γνωστικόν· δεσμοῦ M ‖ 18 οἱ om BrM ‖ an νωθοῦνται? ‖ 19 εἴσεισι S ‖ πρὸς PS εἰς Δ ‖ 20 πλήττει — ἐγκέφαλον om MS ‖ τὸ ἐγκ. P ‖ 21 ἀνόνητον U ἀνόμοιον libri *ineptus* G ‖ 24 Γίν. γὰρ BrM Γίν. δὲ E *quippe* G ἴσθι οὖν Δ ‖ 24. 25 ὅτι ἐκ τ. στ. ἐστίν· Δ i. e. AE ‖ 25 ψυχρὸν καὶ ξηρὸν Δ ‖ 26 τυγχάνον: ὑπάρχον P ‖ καὶ θερμόν om AM ‖ 27 λεκυθῶδες S(P) ‖ ξηρὸν ὂν Δ i. e. solus A ‖ με * hoc loco deficit A ‖ τῆς: τὸ M ‖ 28. 29 τεσσάρων στοιχ. P ‖ 29 μετέχων M ‖ καὶ om P ‖ κολικῶν BrM cf. E. M. p. 525, 1. Lob. ad Phryn. p. 79 κωλικῶν Δ

Universitäts- und
Landesbibliothek Düsseldorf

Διότι ὡς ἐπὶ τὸ πλεῖστον ἐκ φλέγματος ἔχει τὴν γένεσιν τὸ πάθος, τοῦτο δὲ τῷ πλήθει σηπόμενον πνεύματα τίκτει, ἅτινα τὴν κόπρον ὑπενδυόμενα καὶ διογκοῦντα ταύτην καὶ φυσῶντα ὡς τὴν τῶν βοῶν ποιεῖ· ὅθεν πολλάκις καὶ ἐπινήχεται ἐν ὕδατι διὰ τὴν κουφότητα τοῦ πνεύματος. καὶ ἡ τῶν βοῶν δὲ ἐμπνευματοῦται κόπρος διὰ τὸ πολλῇ τροφῇ κεχρῆσθαι ἀχυρώδει καὶ τῷ πλήθει πνεύματα πλεῖστα τίκτειν.

ιδ Διὰ τί ἐπὶ τῶν τὴν μήνιγγα τὴν παχεῖαν τοῦ ἐγκεφάλου τετρωμένων μύκητες ἐξίασι διὰ τῆς διαιρέσεως; Ὅτι ἀεὶ τοῦ ἐγκεφάλου ἀτμοὺς γεννῶντος καὶ διαφοροῦντος αὐτοὺς διὰ τῶν ῥαφῶν τοῦ κρανίου, νῦν εὑρίσκοντες ἀναπέτειαν πλείστην τῆς διαιρέσεως δι' αὐτῆς ἐξίασιν ἀθρόως, καὶ ὁμιλοῦντες ψυχρῷ τῷ ὀστέῳ πήγνυνται καὶ τῇ ἁπαλότητι ἐξαπλοῦνται καὶ λαμβάνουσι σχῆμα μυκήτων, ἄνωθεν μὲν ὄντες πλατεῖς, κάτωθεν δὲ στενοί· οὕτω γὰρ καὶ καπνὸς εὑρίσκων πολλὰς ὀπὰς καὶ θυρίδα μίαν, ῥᾷον καὶ ἀθρόως διὰ τῆς θυρίδος ἔξεισιν ἤπερ διὰ τῶν ὀπῶν.

ιε Διὰ τί τὸ φλέγμα παχὺ ὂν καὶ ψυχρὸν καὶ διὰ τοῦτο κατωφερές, πολλάκις ἀπὸ τῶν ποδῶν ἄνεισιν ἐπὶ τὴν κεφαλὴν ἢ ἐπὶ τοὺς ὀφθαλμοὺς τοῦτο; Φημὶ ὅτι οὐ τὸ φλέγμα καθ' ἑαυτὸ ἄνεισιν, ἀλλ' ἡ ἀποκριτικὴ δύναμίς ἐστιν ἑνὸς ἑκάστου μορίου ἀποδιώκουσα τοῦτο ἐπὶ τὸ ἄνω, ἄχρις ἂν εἰς τὸ ἀσθενέστατον πάντων τῶν μορίων ἀποδιωχθὲν ἐκεῖ ἔλθῃ, κἀκεῖνο δι' ἀσθένειαν μὴ δυνηθῇ αὐτὸ ἀποσείσασθαι, ἀλλὰ μείνῃ ὑπ' αὐτοῦ βαρούμενον καὶ ῥευματιζόμενον· οὕτω γὰρ ἄν τις ἄνθρακα πυρὸς πολλῶν παρόντων ῥίψειέ τινι κἀκεῖνος ἑτέρῳ, καὶ ἄλλος ἄλλῳ τῇ ἰσχύι αὐτὸν ἀπορρίπτοι, ἄχρις ἂν εἰς τὸν ἀσθενέστατον ἐλθὼν ἀπομείνῃ.

ιϛ Διὰ τί ἐν λοιμικῇ καταστάσει πολλοὶ ἀπόλλυνται κατὰ πάθος ἓν ὡς ἐπὶ τὸ πλεῖστον καὶ κατὰ τὴν αὐτὴν ἡλικίαν, °ὃ° καὶ δοκεῖ ὥσπερ ἀνατρέπειν τὴν ἀπὸ τῶν ἀστέρων εἱμαρμένην; Φημὶ ὅτι ὅσοι ἐκληρώθησαν ὑπὸ τῆς ἀστρῴας κινήσεως κατὰ τὴν ἀπότεξιν ὀλιγοχρόνιοι, οὗτοι θᾶττον ἐλέγχονται καὶ ἁλίσκονται ὑπὸ τοῦ λοιμοῦ 294 κινούμενοι· οὕτω γὰρ καὶ οἰκία παλαιὰ καὶ σαθρὰ θᾶττον ὑπ' ἀνέμου σφοδροῦ καταπίπτει ἤπερ ἡ ἰσχυρὰ καὶ νέα. τῷ δὲ αὐτῷ πάθει διά τινα τοιαύτην ἀστρῴαν ἀπόρροιαν λοιμικὴν **.

ιζ Διὰ τί ὁ πολὺς δῆμος ἐπὶ τῶν κραιπαλῶν φησιν οἶνον οἴνῳ διαλύεσθαι, τὴν ἐξ αὐτοῦ κεφαλαλγίαν; Φημὶ τοῦτο ἰδιωτικὸν μέν, ἀληθὲς δὲ τυγχάνειν· τὴν γὰρ ἀπὸ τῆς πολλῆς θερμότητος τοῦ οἴνου γενομένην ἔκλυσιν τῶν μορίων ἕτερος οἶνος εἰσιὼν καὶ ἀποδιώκων αὐτὴν ῥώννυσι ταῦτα καὶ παρασκευάζει διώκειν καὶ ἀποκρούεσθαι τὰ συναχθέντα ὑπ' αὐτοῦ πνεύματα καὶ

2 σηπόμενα M ‖ πνεῦμα BS ‖ ὑπενδ. pr. m. ὑπεκδ. altera m. M προσυπενδ. Δ ‖ 3 ἐν om Δ i. e. B ‖ ἐν ὕδ. post 4 πνεύματος ponit P ‖ 4 δὲ om B ‖ διαπνευματ. Δ ‖ 5 τί τὸν μήν. B τὴν om M ‖ 5. 6 μ. τοῦ ἐγκ. τὴν π. P ‖ 6 τετρωμένην μήνιγγες B ‖ 7 ἀπωσοὺς P ὄγκους R ‖ 7. 8 ἀναπετίαν BrM ‖ 9 ἁπαλότητι U ἁπλότητι libri ‖ ἄνωθεν — 10 πλατεῖς om B ‖ 10 θυρίδας B ‖ μίαν — 11 θυρίδος om B ‖ 11 εἴπερ B ‖ 12 καὶ ψυχρὸν BrG om Δ ‖ ἀπὸ om Δ i. e. B ‖ 13 τοῦτο om Δ i. e. D ‖ οὐ τὸ φλ. om B ‖ 14 ἐστιν ἡ ἑνὸς Δ i. e. D ‖ τοῦτο om Δ ‖ εἰς: ἐπὶ S ‖ ἀσθενέστατον ci. Bussem. ἀσθενέστερον libri ‖ 15 ἐκεῖ BrM ἐκεῖθεν B om Δ ‖ δυνηθῇ ci. Bussem. δυνηθείη BMBr ‖ ἀποσ. αὐτόν M αὐτὸ om Δ i. e. D ‖ ἀπώσασθαι D ‖ 16 ὑπ' αὐτοῦ: ἐπὶ τὸ B ‖ ἂν U ἐὰν libri ‖ 17 ῥίψιν B ῥίψῃ ἐν D ῥίψῃ Bussem. ‖ καὶ ante ἄλλος om S ‖ αὐτῶν BN ‖ ἀπορρίπτοι U ἀπορρίπτει BMBr ἀπορρίψουσιν ἕκαστον D ἀπορρίψουσιν Bussem. ‖ 18 τὸν (τὸ S) ἀσθενέστερον MS τὸν ἔσχατον P ‖ 19 καὶ ante κατὰ om ΔN ‖ ὃ U *quae quidem res* G om libri ‖ 19. 20 δ. ὅτι ἀνατρέχει B ‖ 20 ὑπὸ P: ἀπὸ ΔS ‖ 21 τὴν P: τὴν αὐτῶν Δ(i. e. M)S τὴν αὐτὴν B ‖ 23 τῷ δὲ αὐτῷ πάθει om Δ ‖ τοιαύτην om P ‖ lacunae signa apposuit U *malum autem commune propterea est, quoniam aer qui syderum pestilenti defluuio uitiatus est, idem continet omnes atque ab omnibus trahitur.* G ‖ 24 ὑπὸ τῶν P ‖ φησὶν post Διὰ τί ponit P ‖ 25 τυγχάνον BS ‖ 26 τοῦ οἴνου om Δ ‖ τῶν μορίων om Δ ‖ καὶ om B ‖ 27 παρασκευάζειν διώκει BM ‖ καὶ post πνεύμ. deleuit Bussem.

Universitäts- und Landesbibliothek Düsseldorf

βαροῦντα τὴν κεφαλὴν καὶ τὸ σῶμα· καὶ μάλιστα ὁ κεκερασμένος ἐκλύει τὴν τοῦ προτέρου θερμότητα δι' ἣν καὶ ἡ ἔκλυσις· ὀλίγος μὲν γὰρ οἶνος πινόμενος ὑγείαν ποιεῖ, σύμμετρος δὲ εὐφρασίαν, ἄμετρος δὲ μέθην καὶ παραφροσύνην, καθὼς καὶ Θέογνις ὁ ποιητὴς εἶπε περὶ τοῦ συμμέτρου οἴνου φάσκων· 'Οἶνος πινόμενος πουλὺς κακός· ἢν δέ τις αὐτὸν Πίνῃ ἐπισταμένως, οὐ κακός, ἀλλ' ἀγαθός'· ὅθεν οὐκ ἀσκόπως μυθεύουσι τῷ Διονύσῳ Βάκχην ἕπεσθαι διὰ τὴν ἐκ τοῦ οἴνου χορείαν, Σατύρους δὲ διὰ τὴν εὐκινησίαν· Λύδην δὲ διὰ τό τινας ἐξ αὐτοῦ ἐκλύεσθαι· πάρδον δὲ διὰ τὴν ποικίλην φαντασίαν τῶν οἰνωμένων (διάφορον γὰρ ἕκαστος καὶ ποικίλον ἀναδέχεται λογισμὸν ὑπὸ τοῦ οἴνου κινούμενος· πολύστικτος γὰρ καὶ ἡ δορὰ τοῦ ζῴου)· μίαν δὲ βάκχην μανεῖσαν καὶ δράσασαν φόνον, τὴν Ἀγαυὴν μητέρα τοῦ Πενθέως (πολλοὶ γὰρ ὑπερμεθυσθέντες ἐτράπησαν εἰς φόνον)· γυμνὸν δὲ τὸν Διόνυσον διὰ τὴν ἀπὸ τοῦ οἴνου γινομένην φανέρωσιν τῶν πινόντων τοῦ λογισμοῦ· ποθῆσαι δὲ Ἀφροδίτην καὶ Ἀριάδνην (τοῖς γὰρ οἰνωθεῖσι παρέπεται πλείστη γυναικῶν ἐπιθυμία)· ἔχειν δὲ καὶ φαλακρόν τινα διὰ τὸ μάλιστα τὸν ἐγκέφαλον ἐρημοῦν καὶ βλάπτειν καὶ μαραίνειν τὸν πολὺν οἶνον, ὅθεν καὶ Μάρωνα προσηγόρευσαν· ἔχειν δὲ καὶ Πᾶνα, τουτέστιν αὐτὸ τὸ πᾶν, °διὰ τὸ πάντα° κρατεῖν τοῦ οἴνου τὴν δύναμιν, ἢ πάλιν διὰ τὴν διάφορον χροιὰν καὶ δύναμιν τοῦ οἴνου (καὶ γὰρ οὗτος πολυσχημάτιστος καὶ πολυχρώματος)· ὑπὸ πυρὸς δὲ κεραυνωθέντα καὶ ἐν μηρῷ βληθέντα, διότι πολλάκις ὁ οἶνος ἡλιαζόμενος τελειοῦται τῇ κράσει καὶ τῇ δυνάμει τοῖς κεράμοις κρυπτόμενος· τέσσαρας δὲ γυναῖκας εἶναι ἀδελφὰς διὰ τὸ τέσσαρας τροπὰς ἔχειν καὶ μεταβολὰς τὸν οἶνον. Ἄκουε δὲ καὶ περὶ τοῦ Πανός, ὅτι βούλονται αὐτὸν εἶναι τὸ πᾶν τοῦ κόσμου· δύο μὲν γὰρ κέρατα περιτιθέασι τῇ κεφαλῇ διὰ τὴν διπλῆν φύσιν τοῦ παντός· τὸ γὰρ πᾶν ἄρρεν καὶ θῆλυ τῶν κατὰ μέρος καθέστηκεν, ὥσπερ καὶ ἥλιος καὶ σελήνη (ὁ μὲν γάρ ἐστι παρεκτικὸς ἀντὶ σπέρματος τῶν ἰδίων φώτων πρὸς τὴν σελήνην, ἡ δὲ δεκτικὴ τούτων ὑπάρχει καθάπερ καὶ τὸ θῆλυ γένος), ἔτι γε μὴν ζωὴ καὶ θάνατος, γένεσις καὶ φθορά, ὡς δηλοῖ σελήνης τὰ φῶτα αὐξανόμενα καὶ μειούμενα καὶ ἡ σφαῖρα κινουμένη καθ' ἑκάστην ἀπὸ ἀνατολῶν ἐπὶ δυσμάς, οἱ δὲ ἑπτὰ ἀστέρες ἐναντίαν ὁδὸν ἀπὸ δυσμῶν ἐπὶ ἀνατολάς, ὡς δεικνῦσι τοῦτο πλέον τῇ ὄψει πάντων τῶν κινουμένων ἀστέρων. ἔχειν δὲ καὶ τὸ σῶμα διφυές, τὸ μὲν ἄνω ἀνθρωποειδές, τὸ δὲ κάτω προβατοειδές, διότι καὶ τοῦ παντὸς τὸ μὲν ἄνω μέρος περιέχει λογικὰς δυνάμεις, τὸ δὲ κάτω καὶ ἀλόγους· μὴ ἠρεμεῖν δὲ τὴν στάσιν διὰ τὴν ἀεικινησίαν τῆς φορᾶς καὶ τὴν ῥευστὴν φύσιν τῆς ὕλης· πεφιληκέναι δὲ τὴν Ἠχώ· ποθεῖ γὰρ ἡ οὐρανία σφαῖρα τὴν ἐναρμόνιον κίνησιν καὶ τῇ ταύτης ἐφέσει κυκλοφορικῶς ἀεὶ φέρεται. Ἀναλογεῖ δὲ τῷ οἴνῳ τὸ

1 ἐρροῦντα S(P) ‖ μάλιστα ὁ Bussem. ὁ μάλ. libri ‖ κεκραμένος corr. Bussem. ‖ 2 ἔκκλησις B ‖ ὁ οἶνος B ‖ 3 εὐκρασίαν B ‖ καθὰ P ‖ θεαγένης libri em. Bussem. ‖ 4 φάσκων: u. 211 sq. ‖ πολὺς libri ‖ ἂν B ‖ πίῃ BrM ‖ 5 μεθύουσι B ‖ 6 χωρίαν B ‖ σατύρας M συτύρους Br ‖ 7 ἐκλ. ἐξ αὐτ. Δ ‖ αὐτῶν M ‖ πάροδον B ‖ 8 δὲ ἐκ. B ‖ ἕκαστον BN ἕκαστος post ποικ. S καὶ om B ‖ 9 μανεῖσα καὶ δρᾶσα B ‖ φόνον εἰς τ. B ‖ Ἀγαυνὴν S Ἀγενὴν B ‖ 10 ὑπερμαθέντα B ‖ διὰ om B ‖ 11 τοῦ om B ‖ ποθεῖσα B ‖ 12 ἔχει BM ‖ δὲ τι φ. B ‖ 13 τινα (sc. Silenum): τι Buss. ‖ ἠρεμοῦν B ‖ βλάπτει καὶ μαραίνει ὁ πολὺς οἶνος B ‖ μωραίνειν Δ ‖ 14 μαράνα S ‖ ἔχει BBr ‖ διὰ τ. π. ins. U ‖ κρατεῖν U εἶναι libri ‖ 15 τὴν ante δύν. om P ‖ ἐπὶ τὴν B ‖ 16 πολυχρηματιστος B ‖ πολ. ἐστι καὶ Δ ‖ ἐν τῷ Δ i. e. M ‖ ἐν μηνῷ B ‖ 17 ὁ adi. Bussem. ‖ κεραμένοις S ‖ 18 ἀδελφάς: ὕδρας M ‖ ἔχει B ‖ καὶ μετ. om Δ (i. e. B) G ‖ 19 Ἄκουε — 30 φέρεται om G ‖ 19 βούλεται B ‖ 21 τὸ κατὰ Δ i. e. B ‖ κατέστ. Δ ‖ καὶ ante ἥλ. om P ‖ 22 φωτῶν Δ om M ‖ τῇ σελήνῃ M ‖ τούτων om Δ ‖ 24 αὐξόμενα P ‖ ἀπ' et 25 ἐπ' Δ ‖ 25 δείκνυσι BrΔ ‖ 25. 26 πάντων τῇ ὄψει Δ ‖ 26 ἔχειν U ἔχει libri ‖ τὸ πᾶν σῶμα BS in quos videtur πᾶν pro Πάν ex mg. irrupisse ‖ διαφυὲς N ‖ 27 λογικοὺς Δ ‖ 28 τῇ στάσει Δ i. e. B ‖ φθορᾶς BN φοβερᾶς S ‖ 29 δὲ τῇ B ‖ 30 ἐν φύσει κ. B ‖ ἀεὶ φέρεται U ἀεὶ (ἀνα- S) φέρεσθαι libri

Universitäts- und Landesbibliothek Düsseldorf

295 αἷμα κατὰ κρᾶσιν καὶ οὐσίαν· ὥσπερ γὰρ ἐξεθέμεθα τὸν οἶνον τετραμερῆ, τὸν αὐτὸν τρόπον
καὶ τὸ αἷμα· ἔχει γὰρ τὸ ὑδατωδέστατον μέρος ὅπερ ἕλκουσιν οἱ νεφροί· ὁμοίως δὲ καὶ τὸ
ἀναλογοῦν ὡς ἄνθος, ὅπερ ἕλκει ἡ χοληδόχος κύστις, καὶ τὸ παχὺ καὶ τρυγῶδες ὅπερ ὁ
σπλὴν ἕλκει, καὶ αὐτὸ τὸ οἰνῶδες καὶ καθαρὸν τοῦ αἵματος ὅπερ ἀναδιδόμενον καθάπερ καὶ
οἶνος ἐν τῷ σώματι τρέφει τὰ μόρια. Διὰ τί τρωθεῖσα βάλανος καὶ γνάθου τὰ λεπτὰ οὐ ιη
κολλᾶται; Καθόλου ὅσα ἀπὸ σπέρματος γέγονεν, ἀπὸ φύσεως ταῦτα παλιγγενεσίαν οὐχ
ὑπομένει τὴν αὐτήν, ὡς νεῦρον φλὲψ ὑμένες καὶ τὰ παραπλήσια· εἰκότως οὖν καὶ ταῦτα
νευροειδῆ ὄντα τελείαν οὐχ ὑπομένει τὴν γένεσιν· τὰ μέντοι ἐξ ἀρχῆς ἐξ αἵματος διαπλασθέντα
πάλιν γεννᾶται τῷ διὰ παντὸς τοῦ βίου αἷμα κεκτῆσθαι σπέρμα δὲ οὔ. Διὰ τί τὰ γί- ιθ
γαρτα καὶ τὰ σήσαμα καὶ αἱ κεγχραμίδες ὑγιῆ καταπινόμενα πάλιν ὠμὰ διὰ γαστρὸς
ἐκκρίνεται; Ἢ διὰ τὴν πολλὴν σμικρότητα καὶ ξηρότητα οὐ πέττεται; ἢ ὅτι τὸ τέλειον περι-
έχουσι τῆς γεννητικῆς σπορᾶς (διὸ καὶ σφαιροειδῆ), ὡς ἐπὶ τὸ πλεῖστον σῶα παραμένουσιν;
τοῦτο γὰρ τὸ σχῆμα τελειότερόν ἐστι παρὰ τῷ θεῷ παρὰ πάντα τὰ σχήματα, λέγω δὴ
τετράγωνα κυβοειδῆ πυραμοειδῆ κυλινδροειδῆ ᾠοειδῆ φακοειδῆ καὶ τὰ ὅμοια. Διὰ τί ἐπὶ κ
τῆς ἐμφράξεως τῶν κυρτῶν τοῦ ἥπατος ἡ κατακλεὶς κατασπᾶται; Ὅτι ἡ ἀπὸ τῶν κυρτῶν
τοῦ ἥπατος στελεχιαία φλὲψ ἀνιοῦσα πρὸς τὴν κατακλεῖν ἀπὸ τῆς ἐμφράξεως καὶ πληρώσεως
εὐρυνομένη τὸ μῆκος μειοῖ καὶ σπᾷ ἐπὶ τὸ κάτω, καθάπερ καὶ τὸ ἔντερον πληρούμενον σαρ-
κῶν ἢ ἄλλων σωμάτων τινῶν· αὕτη δὲ καθελκομένη συγκατασπᾷ καὶ τὴν κατακλεῖν καὶ
οὕτω τὴν ὀδύνην ἐπιφέρει. Ἔχουσι δὲ ξηροβήχιον· ἡ γὰρ δυσκρασία τοῦ ἥπατος ἀνιοῦσα
πρὸς τὰ ἀναπνευστικὰ ἐπεγείρει ταῦτα πρὸς ἀπόκρισιν καὶ ποιεῖ ἐπ' αὐτὰ βῆχα. Διὰ τί κα
ἡ μήτρα παρὰ πάντα τὰ μόρια ἔνδοθεν τραχεῖα γέγονεν, ἐξοχὰς ἔχουσα ἃς καλοῦσι κοτυ-
ληδόνας; Διὰ τὴν ἀντοχὴν τῶν σπερμάτων· πᾶν γὰρ ὑγρὸν εὐόλισθόν ἐστιν ἐν λείῳ σώματι·
οὕτω γὰρ καὶ οἱ κονιῶντες τοὺς τοίχους προσκολάπτουσιν αὐτοὺς πρὸς τὸ τὰ κοιλώματα γί-
νεσθαι τῆς διαμονῆς τῶν κονιῶν ἀσφαλίσματα· τούτου γὰρ χάριν καὶ αὐτὸ τὸ σπέρμα
κολλῶδες κατεσκεύασεν ἡ φύσις πρὸς ἀντοχὴν τῆς διαμονῆς. Διὰ τί ἐν ἀρίστῳ πολλοὶ κβ
ὑπερπλησθέντες οὔρου καὶ αἰδεσθέντες ἐξουρῆσαι παρελύθησαν καὶ ἰσχουρίαν ὑπέμειναν; Ὅτι
τῇ ὑπερπληρώσει σφόδρα διαταθεῖσα ἡ οὐρηδόχος κύστις καὶ ἄγαν ἐξογκωθεῖσα τὴν ἐν τῷ
χιτῶνι κατὰ φύσιν ὑγρότητα ἐξέθλιψε καὶ διὰ τοῦτο κατεξήρανε ταύτην καὶ εἰς ξηρὰν
δυσκρασίαν μετερρύθμισε καὶ οὐκέτι ἠδυνήθη συσταλῆναι, καθάπερ καὶ βύρσα ὑπερξηρανθεῖσα
οὐκέτι ἐκταθῆναι ἠδυνήθη, εἰ μὴ ἐν ὑδρελαίῳ ἐνυγρανθείη. Ἡ δὲ στραγγουρία τὸ ἐναντίον, ἥ-
τις γίνεται διὰ παράλυσιν τοῦ μυὸς τοῦ κλείοντος τὸν τράχηλον τῆς οὐρηδόχου κύστεως ἢ δι'
ἕλκωσιν αὐτῆς ἢ διὰ λίθου παρουσίαν, δακνομένης ἢ βαρουμένης καὶ ἐρεθιζομένης ἐκκρίνειν αὐτὸ
τὸ πρὸς ὀλίγον συναγόμενον οὖρον ἐν αὐτῇ. δυσουρία δὲ κοινόν ἐστιν ὄνομα, τουτέστι τὸ
δυσχερῶς οὐρεῖν, ὡς δυσπεψία καὶ δυσηκοΐα καὶ δύσπνοια.

1 γὰρ om B ‖ ἐξεθέμ.: pr. II 70 ‖ 2 τὸ post γὰρ om M ‖ ἕλκουσι νεφροὶ BrM ‖ τὸ post καὶ om Br ‖ 3 ὥσπερ M ‖ ἡ ins. Bussem. om libri ‖ χολοδόχος Δ ‖ 4 ἔχει S ‖ καὶ ante καθ. om Br ‖ 6 καθὰ ὅσα Δ i. e. M ‖ 8 ταχεῖαν P ‖ διαπλασθῆναι BN ‖ 9 τῷ δὲ παντὸς βίον κεκτῆσθαι σπέρμα δὲ ὄν. Δ ‖ τοῦ P om S(N) ‖ 10 αἱ U om libri ‖ 12 διὸ καὶ σφ. fort. ponenda post παραμένουσιν ‖ 13 τελεώτερον Δ ‖ λ. δὲ τὰ Δ ‖ 14 φαλκοειδῆ N ‖ 16 τοῦ om B ‖ περὶ τὴν P ‖ 17 ἐπί τι κ. B ‖ καὶ BrG om Δ ‖ τὸ om Br ‖ 18 αὐτὴ Br ‖ δὲ καθελκομ. U δὲ καὶ ἑλκομ. P δ' ἑλκομ. Δ (δὲ) S ‖ 19 φέρει N φέρειν B ‖ 22 ὑγρὸν om B ‖ 23 προκολάπτουσιν S ‖ τὸ om B ‖ 24 κοιλῶν B ‖ 26 ὑπερεμπλησθέντες Δ ‖ 27 et 31 οὐροδόχ. Δ ‖ 27 ἐξομωθεῖσα S ‖ 30 ἐνυγρανθείη U ἐνυγρανθῇ libri ‖ 32 δακνουμένης BrM ‖ 33 ἐν αὐτῷ ΔP ‖ ἐστὶ κοινὸν P ‖ 34 οὐρεῖν δυσχ. P ‖ δυσκοΐα N

Universitäts- und
Landesbibliothek Düsseldorf

# Δ.

α Διὰ τί οἱ τὴν κάτω κοιλίαν ῥευματιζόμενοι κατάδιψοι γίνονται; Ὅτι τῶν ὑγρῶν κάτω 296
β φερομένων ἀναξηραίνεται τὰ πρὸς τῷ στομάχῳ· κατὰ ξηρότητα δὲ τὸ δίψος. Διὰ τί
δακρύουσιν οἱ λυπούμενοι; Ὅτι πνεύματος πάθος ἐστὶν ἡ λύπη· ἀνατρέχει οὖν ἐπὶ τὴν μή-
νιγγα, καὶ ἀθρόως ἐκθλίβει τὸ παρακείμενον ὑγρόν. τὸ δ' αὐτὸ καὶ τοῖς χαίρουσι γίγνεται.
γ Τίνι διαφέρει σπάδων εὐνούχου; Ὅτι ὁ μὲν εὐνοῦχος μειράκιον ὢν τῶν διδύμων ἐστέρηται,
δ ὁ δὲ σπάδων προκόψας ἤδη τὴν ἡλικίαν. Διὰ τί οἱ σπάδοντες οὐ φέρουσι γένεια; Ὅτι
ε ὑστερεῖ ἐπ' αὐτῶν τὸ θερμόν, ὑπὸ δὲ θερμασίας αὔξονται αἱ τρίχες. Διὰ τί οἱ μὲν εὐνοῦ-
χοι ὀξύφωνοι, οἱ δὲ γάλλοι οὔ; Ὅτι οἱ μὲν στενοὺς ἔχοντες τοὺς πόρους ἐκτέμνονται, οἱ δὲ
ἤδη εὐρυτέρους ἀποκόπτονται· διὰ στενοῦ δὲ πνεῦμα φερόμενον λεπτὸν ἠχεῖ, δι' εὐρυτέρου δὲ
ϛ βαρύτερον. Διὰ τί καὶ μετὰ τὴν ξηρὰν καὶ ὑγρὰν τροφὴν ἐρευγόμεθα; Ὅτι κτᾶται τού-
τοις πνεῦμα. τῆς οὖν ἀσθενεστέρας τροφῆς κάτω χωριζομένης λεπτομερὲς ὂν τὸ πνεῦμα ἐπὶ
ζ τοὺς ἄνω τόπους ἑαυτὸ κουφίζει. Διὰ τί πλέον τινές τινων συνουσιάζουσιν; Ὅτι μᾶλλόν
η τινές τινων θερμότεροι. Διὰ τί οἱ ἀπὸ φωτὸς εἰς συνηρεφεῖς οἴκους εἰσελθόντες οὐχ ὁρῶσιν
εὐθέως; Ὅτι τὸ μέλαν παχὺ ὂν ἀποκρύπτει τὴν βλεπτικὴν οὐσίαν ταύτην· ἐπιμείνασα γοῦν
θ ἀνύει. Διὰ τί αἱ γυναῖκες τὴν ὑστέραν παθοῦσαι παρακόπτουσιν; Ὅτι νευρώδης οὐσία,
ι ἔχει δὲ τὰς ἀρχὰς ἀπὸ στομάχου καὶ μηνίγγων, ὅθεν καταπέπλεκται. Διὰ τί ἔμμηνα
γίνεται; Ὅτι ταῖς θηλείαις ἀργότερον βίον ζώσαις τὸ περίττωμα πολὺ πλέον, πολὺ δὲ τὸ αἷμα
ια πανταχοῦ. τὸ περισσὸν οὖν ἐκκρίνεται κουφισμοῦ χάριν. Διὰ τί ἐπὶ τοῖς λοιμοῖς ὡς
ἐπὶ τὸ πλεῖστον ὀφθαλμίαι προκατάρχονται; Ὅτι τοῦ πνεύματος πεῖσίς ἐστιν ὁ λοιμός. τρο-
πῆς οὖν περὶ αὐτὸ γινομένης ἄνω φερόμενον τὸ πνεῦμα τὴν ὅρασιν ταράσσει· ἐκεῖ γάρ μᾶλ-
ιβ λόν ἐστι λεπτὸν καὶ εὐρούστερον. Διὰ τί οἱ τρομικοὶ πίνοντες περιφέρονται; Ὅτι πολύ-
θερμος ὁ οἶνος· πολὺς οὖν γενόμενος τοῖς νευρώδεσιν ὑπεισέρχεται καὶ ταράσσει τὸ πνεῦμα τὸ
ιγ ἐν αὐτοῖς, τοῦτο δὲ ἀπὸ μηνίγγων φέρεται. Διὰ τί τὰ μὲν ἄλογα ζῷα τεχθέντα περι-
πατεῖ εὐθέως, οἱ δὲ ἄνθρωποι οὔ; Ὅτι ἐπὶ μὲν τῶν ἀλόγων ἴσον ἐν παντὶ μέρει τὸ θερμόν,
ἐπὶ δὲ τῶν βρεφῶν πλεῖον περὶ τὴν κεφαλήν. ὅταν οὖν ὁμαλισθῇ πανταχοῦ τὸ θερμόν, ἀνί-
ιδ στανται. Διὰ τί οἱ σπώμενοι πυρέξαντες ἀπαλλάσσονται τοῦ σπᾶσθαι; Ὅτι θλιβομένου
τοῦ ἐν τοῖς νεύροις πνεύματος καὶ ψυχομένου ὁ σπασμὸς γίνεται, ὑπὸ θερμασίας δὲ λύεται,
ιε θερμὸς δὲ ὁ πυρετός. Διὰ τί ἐπὶ ταῖς χολαῖς οἱ μέλαιναν χολὴν ἐμέσαντες κινδυνώδεις; 297
ιϛ Ὅτι μηκέτι τῆς χολώδους ὑποστάσεως οὔσης τὸ ἀπὸ τοῦ ἥπατος αἷμα ἕλκεται. Διὰ τί
ἀπουρήσαντες ἀποπνέομεν; Ὅτι πληρωθεῖσα ἡ κύστις ὑποκείμενον τὸ ἀπηυθυσμένον ἔντερον

1 Ἀριστοτέλους προβλημάτων τὸ δ̄ P Ἀριστ. φυσικὰ προβλήματα τοῦ δ̄ R continuat S ‖ 2. 3 καταφερομένων B ‖ 3 ἀναξηραίνονται P ‖ τὰ om B ‖ καταξηρότατον B ‖ 4 Ὅτι P om ΔS ‖ 6 ὂν BN ‖ ὑστέρηται B ‖ 8 ὑστεροῖ C ‖ αὐτὸν C αὐτοὺς B ‖ δὲ θερμ. BrM θερμ. γὰρ Δ i. e. BC ‖ θερμανσίας S ‖ αἱ U om libri ‖ 11 καὶ post τί om Δ ‖ 12 τοῖς — ἀσθενεστέροις — χωριζομένοις B ‖ 13 ἑαυτῷ B ‖ 15 ταύτην: f. τούτων· ‖ 15. 16 γοῦν ἀνύει seruauit P om Δ (i. e. M.) R ταύτην — ἀνύει om SG ‖ 16 αἱ om BrM ‖ νευρώδεις οὐσίας B ‖ 16. 17 οὐσία ἐστίν· ἔχει Δ i. e. M ‖ 17 ἀπὸ τοῦ στ. N ‖ μήνιγγαν κατ. B ‖ f. ἐμμήνια ‖ 18 ζώσας B ‖ περίττωμα em. Bussem. περιττὸν σῶμα libri ‖ 19 οὖν: ὂν BN ‖ 22 παραφέρονται corr. Bussem. sed cf. Moeris p. 196 ‖ 23 γινόμενος BrM ‖ 24 ἐπὶ μηνίγγων B ἐπὶ μήνιγγας corr. Bussem. ‖ 25 ζῴων post ἀλ. addit M ‖ μέλει B ‖ 26 πλέον C ‖ 26. 27 ἀνίστανται U ἀνίσταται libri nisi quod συνίσταται C ‖ ἀπαλλάσσονται om B ‖ 28 θερμανσίας N ‖ δὲ γίνεται B ‖ 29 αἱ BC ‖ μέλαινα B ‖ 31 ἀποπνέομεν ci. Buss. *Cur a mictu spiritus aluo excedere soleat* G ἀναπνέομεν mss. ‖ ἀπηυθισμένον Br ἀπηθισμ. M ἀπευθισμ. Bussem.

Universitäts- und
Landesbibliothek Düsseldorf

θλίβει. ἀνεθείσης οὖν αὐτῆς τὸ ἐπισχεθὲν ἐν τῷ ἐντέρῳ πνεῦμα ὀλισθαίνει. Διὰ τί χασμη- ιζ
σάμενοι ἢ πολὺ οὐρήσαντες ὑποφρίττομεν; Ὅτι τοῦ θερμοῦ πνεύματος μέρος τι συνεκτρέχει·
ἀκολούθως οὖν ἐκ παραδρομῆς ὑποψυχόμεθα. Διὰ τί ἐπὶ τῶν λευκῶν ἢ ἀλφῶν αἷμα ιη
οὐχ ὑπακούει κεντουμένων; Ὅτι ἐκ τῶν κατὰ τὴν ἐπιφάνειαν πόρων τὸ θερμὸν ὑποκεχώρη-
κεν ἢ διέπνευσεν. Διὰ τί αἱ συλλαβοῦσαι κισσῶσιν; Ὅτι τῶν παρὰ φύσιν ἐστὶν ἡ σύλ- ιθ
ληψις, τὸ δὲ πάθος περὶ τὴν μήτραν· νευρῶδες δὲ τὸ σπλάγχνον· στομάχου δὲ πάθος ἡ
κίσσα, ὥσπερ ὄρεξις καὶ ἀνορεξία. Διὰ τί οἱ τεταρταῖοι χρονιώτεροι τῶν ἄλλων τύπων; κ
Ὅτι περὶ τὸ γεῶδες τοῦ σώματος σύγκριμα γίνεται, βαρὺ δὲ τὸ γεῶδες, ὅθεν βραδεῖς οἱ τε-
ταρταῖοι. Διὰ τί τῶν περὶ τὰ ἄρθρα ἀποπρησθέντων οὐ κατουλοῦται τὰ ἕλκη; Ἐπί τινων κα
τετήρηται τοῦτο, ὅτι πλείων ἐν τοῖς ἄρθροις ἡ ὕλη· φερομένη οὖν ἡ ὕλη ἐκεῖσε δριμυτέρα γίγνεται
καὶ ἀναξηραίνει. Ἢ ὅτι τῶν ἄρθρων τὸ πέρας χόνδρος ἐστίν; ἀπολισθαίνουσα οὖν ἡ κατούλωσις
οὐ κρατεῖ. Διὰ τί τὸ ὄμβριον ὕδωρ ἐλαφρόν ἐστι, καίπερ ἀπὸ θαλάσσης ἁρπαζόμενον, ἔστι κβ
δὲ τοῦτο βαρύ; Ῥητέον ὅτι ἀναληφθὲν τοῦτο καὶ γυμνασθὲν ὑπὸ τοῦ πνεύματος λεπτύνεται καὶ
ὑπὸ τοῦ περιέχοντος αὐτὸ ἀέρος γίνεται κοῦφον· τὸ δὲ κοῦφον ἄνω φερόμενον ἐκχεῖται κατὰ
πλείονα συναθροισμόν. Διὰ τί τὸ ψυχρὸν πολέμιον ὀστέοις ὀδοῦσι νεύροις; Ὅτι τῆς γεώ- κγ
δους συγκρίσεώς ἐστι ταῦτα πάντα, ψυχρὸν δὲ τὸ γεῶδες· ἐπιψυχόμενα οὖν βλάπτεται.
Διὰ τί ἡ χιὼν ψυχρὰ οὖσα καίει; Καθ' ὑπερβολὴν πυκνώσεως· ἔμπυκνος γὰρ ἡ χιών, αἱ κδ
δ' ἀκρότητες ἰσότητες θερμή τε καὶ ψυχρά. Διὰ τί οἱ φρενιτικοὶ μὲν μικρόσφυκτοι, με- κε
γαλόσφυκτοι δὲ οἱ ληθαργικοί; Ὅτι οἱ μὲν ἀραιουμένου τοῦ ἐν ταῖς μήνιγξι πνεύματος παρα-
φέρονται, οἱ δὲ παχυνομένου βαρύνονται. Διὰ τί τινων πυρετῶν λυομένων ὑπὸ ἱδρῶτος κς
οἱ καρδιακοὶ διαφοροῦνται; Ὅτι ἐφ' ὧν μὲν διαπνεῖ τὰ νοσοποιοῦντα, ἐφ' ὧν δὲ διαλύεται
τὸ σύγκριμα. Διὰ τί χειμῶνος πειναλέοι γινόμεθα μᾶλλον καὶ καταπέσσομεν τὴν τρο- κζ
φήν; Ὅτι πυκνουμένου τοῦ σώματος ἔξωθεν τὸ θερμὸν εἰς τὸ βάθος ἀποκλείεται· ὑπὸ θερ-
μασίας δὲ ἡ τροφὴ πέσσεται. Διὰ τί οἱ πλείονα συνουσιάσαντες αἷμα ἔσθ' ὅτε ἀποκρίνου- κη
σιν; Ὅτι τῆς σπερματικῆς οὐσίας ἐκκενωθείσης προχειρότερον αἵματος ὑγρὸν οὐκ ἔστιν.
Διὰ τί τὸ μέλι τοῖς μὲν ἕλκεσι δριμὺ τυγχάνει, τῇ δὲ γεύσει γλυκύ; Ὅτι τοῖς ἕλκεσιν ἀνε- κθ
298 ξαμμένοις ἡ ἀπὸ τοῦ μέλιτος προσπίπτει λεπτότης, δριμὺ δὲ τὸ λεπτόν· ἡ δὲ γεῦσις ὑγρὰ
οὖσα τῆς ἐν τῷ μέλιτι λειότητος ἀντιλαμβάνεται. Διὰ τί τὰ νεῦρα νυσσόμενα μὲν φλεγ- λ
μονὰς ἐπιφέρει, κοπτόμενα δὲ οὐκέτι; Ὅτι τὸ μὲν πνεῦμα διὰ στενῶν τῶν πόρων ἀνωμάλῳ
τῇ διαιρέσει προσπῖπτον ἀποστρέφεται καὶ εἰς αὐτὸ πιλοῦται, ἐπὶ δὲ τῆς τελείας διακοπῆς

1 ἀνεθείσης Δ i. e. M ‖ ἑτέρῳ M ‖ 2 συντρέχει Δ i. e. M ‖ 3 οὖν om P ‖ ὑποψυχόμεθα Br, ci. Bussem. ὑποψύγομεν Δ i. e. M ‖ ἀλφῶν P ‖ 4 κεντουμένων ci. Bussem. κεντούμενον MS(N) κεντώμενον P ‖ 6 τὸ δὲ — μήτραν P mg N: om Δ (i. e. BM) RSG ‖ 7 τούτων C πυρετῶν M ‖ 8 σύγκρισις MS ‖ 9 ὑποπρησθέντων S ‖ 10 τετήρηται U τε τηρεῖται libri ‖ πλεῖον N ‖ ἐκεῖ P ‖ δριμύτερον Δ i. e. M ‖ 11 ἡ κατούλ. om S ‖ 13 λεπτὸν γίνεται CS ‖ 14 ἀέρος καὶ γίν. P ‖ 16 ἐπιψυχόμενον DS ‖ 17 πυκνωσα S ‖ ἔκπυκνος S ‖ 18 ἶσαι Δ i. e. D ‖ θερμαί — ψυχραί Δ (i. e. DM) S ‖ φρενητικοὶ Br ‖ 19 τοῖς μ. Δ ‖ 19. 20 περιφέρονται P ‖ 20 τινῶν: τινὲς M τῶν Δ i. e. B ‖ 21 διαφορεῦνται Br, ci. Bussem. διαφέρονται Δ i. e. BM ‖ μὲν om Δ ‖ διαπνεῖται νοσ. B ‖ 22 σύγκραμα Br M ‖ 23 πυκνοῦ τοῦ O ‖ εἰς β. M ‖ 23. 24 καὶ ὑπὸ θ. ἡ CS ‖ 24 πέττεται Δ ‖ πλεῖον Δ i. e. CM ‖ 25 οὐσίας om Br. exspectes φλεβός ‖ πρόχειρον MO ‖ 26. 27 ἀνεξαμένοις M ἀναδιξαμμένοις O resiccatis G ἀποξηραμένοις B (unde ἀπεξηραμμένοις Bussem.) αὐαξανθεῖσι D ‖ 27 ἀπὸ ci. Bussem. ὑπὸ libri ‖ 28 μὲν om B ‖ 29 τῶν στενῶν Δ i. e. M ‖ ἀνωμάλως Δ ‖ 30 διαιρ. τουτέστι τῇ νύξει (τῇ ν. om O) προσπ. Br διαιρ. τουτέστι τὸν χωρισμὸν πρ. B ‖ δὲ om B



Universitäts- und
Landesbibliothek Düsseldorf

λα διαπνεῖ. Διὰ τί οἱ πρὸ τῆς σημασίας ἱδρῶτες χαλεποί; Ὅτι οἱ μὲν μετὰ τὴν ἐπισημα-
λβ σίαν γίνονται κατὰ ἄνεσιν, οἱ δὲ πρὸ τῶν ἐπισημασιῶν κατ' ἔκθλιψιν. Διὰ τί οἱ νήστεις
δυσώδες ἔχουσι τὸ στόμα; Ὅτι τῆς ἐν τῷ στομάχῳ δριμύτητος μὴ κατακιρναμένης νεαρᾷ
λγ τροφῇ ἡ ἀναθυμίασις ἀηδής. Διὰ τί ἐν ταῖς καρδίαις οὐδὲν γίνεται πάθος; Ὅτι διὰ τὴν
λδ κυριότητα αὐτῆς φθάνει τοῦ πάθους ὁ κίνδυνος. Διὰ τί ἐν τοῖς αἰγιαλοῖς σκάψαντες γλυκὺ
εὑρίσκομεν ὕδωρ; Ὅτι παχὺ τὸ τῆς θαλάσσης ὕδωρ, ἐκ πολλῶν συνεστός· τὸ λεπτομερὲς
λε οὖν αὐτῆς διὰ τῆς γῆς παρεισδύνει· γλυκὺ δὲ τὸ λεπτόν, ὥσπερ τὸ παχὺ ἁλμυρόν. Διὰ
τί τὰ πυρίκαυστα δυσκατούλωτα; Ὅτι πάντες ἀθρόως ἀφανίζονται οἱ πόροι καὶ πάσχουσιν
λϛ ὅμοιον τῇ νεκρώσει, δυσέκπλυντος δὲ ἡ ἀποκεκλεισμένη κατ' αὐτὰ ὕλη. Διὰ τί οἱ πρε-
σβῦται φίλοινοι; Ὅτι χρόνῳ κατεψυγμένοι χρείαν ἔχουσι τοῦ θερμοῦ, θερμαντικὸς δὲ ὁ οἶνος.
λζ Διὰ τί μᾶλλον τὰ δεξιὰ τῶν ἀριστερῶν εὐσαρκότερα; Ὅτι μᾶλλον αὐτῶν κινουμένων αἱ ὗλαι
λη συνεπιδιδόασιν. Διὰ τί ἐπὶ τῶν ἀριστερῶν ὤμων τὰ φορτία φέρομεν; Ὅτι τῶν ἀριστερῶν
δυσκινήτων ὄντων πλείων ἡ ἐπιμονὴ τῆς ὕλης, ἐπὶ δὲ τῶν εὐκινητοτέρων ἐλάττων.

Λοιπὸν τοίνυν περὶ τῶν κοινῶν συμπτωμάτων διελθεῖν καιρός (κοινὰ δὲ συμπτώματα λέγομεν ὅσα πάσαις ὡς ἐπὶ τὸ πολὺ συμβαίνει ταῖς ἡλικίαις), οἷον περὶ ἰλίγγων καὶ πταρμῶν καὶ χάσμης, ἔτι δὲ λυγμοῦ καὶ σκοτοδινήσεως ἐρευγμῶν τε καὶ τῶν τοιούτων ἁπάντων, αὐτά τε διὰ τί γίγνεται καὶ πῶς διατεθέντων τῶν σωμάτων καὶ διὰ τί τούτων ἔνια μέν ἐστιν ἀλλήλων λύσις, ἔνια δ' οὔ, καὶ ποίοις ἐργωδῶς γίγνεται· μετὰ δὲ ταῦτα περί τε φαλακρῶν καὶ μαδίσεως τριχῶν καὶ ὅλως διὰ τί αὔξονται καὶ φθείρονται τρίχες καὶ ὄνυχες καὶ κατὰ ποίους καιροὺς καὶ διὰ τί μέλαιναι καὶ πυρραὶ καὶ λευκαὶ γίνονται αἱ τρίχες· πρὸς δὲ τούτοις περί τε φωνῆς καὶ τῶν περὶ φωνὴν συμπτωμάτων, οἷον διὰ τί ὀξεῖαι καὶ βαρεῖαι γίγνονται καὶ πῶς ἀπορρήγνυνται καὶ διὰ τί ἔνιοι διὰ τῶν ῥινῶν φθέγγονται· καὶ πάλιν περὶ ἀκοῆς καὶ ὀσμῆς καὶ γέλωτος· εἶτα περὶ ναυτίας καὶ διὰ τί οἱ μὲν τοῦτο πάσχουσιν οἱ δὲ οὔ, καὶ ποῖοι μάλιστα.

λθ Διὰ τί κάτω μὲν βλέποντες ἰλιγγιῶμεν ἀφ' ὑψηλοῦ, ἄνω δὲ οὔ; Ἢ ὅτι ὁ μὲν ἴλιγγός
ἐστι κινουμένου τοῦ ἄκρου τῆς ὄψεως οἷον τοῦ ἐν τῷ ἐγκεφάλῳ· ἰλιγγιῶμεν γὰρ ὅταν παρα- 299
τρέχωσι πολλοί, ἂν τὴν ὄψιν ἐφ' ἕκαστον ἐπιβάλλωμεν, ὑπὸ τῶν παρατρεχόντων κινουμένης
τῆς ὄψεως. ὄντος δὲ τοιούτου τοῦ ἰλιγγιᾶν, ὅταν κάτω βλέπωμεν, ἐὰν μὲν ἀπὸ βραχέος, οὐκ
ἰλιγγιῶμεν διὰ τὸ ἀπηρεῖσθαι τὴν ὄψιν· ἐὰν δ' ὑψόθεν φερομένη κάτω ἡ ὄψις πρὶν ἀπερείσα-

1 ἱδρῶτες — ὅτι: γίνονται κατὰ ἄνετι O ‖ τὴν ἐπισημασίαν S(P) τῆς ἐπισημασίας O τῆς σημασίας Δ ‖ 2 κατ' Δ ‖ τῶν σημασιῶν Δ ‖ 3 ταῖς ἐν B ‖ κατακιραμ. O κατακιρναμένην B ‖ 4 ἀηδὴς γίνεται. Δ i. e. D γίνεται om Br BC M ‖ 5 καιριότητα S *opportunitatem* G ‖ αὐτοῖς S αὐτοῦ P ‖ τὸν κίνδυνον B Br ‖ fort. ἔν τισιν αἰγ. cf. Alex. I 55 ‖ 6 θαλάττης Δ ‖ πολλοῦ P ‖ 7 αὐτοῖς S ‖ παρεισδύει P ‖ παχὺ τὸ M (unde Δ) P ‖ 8 πυρίκαυτα Bussem. ‖ δυσκατούλωτά ἐστιν; Δ i. e. B ‖ πάντως M ‖ 9 δυσέκληπτος Δ δυσέκλειπτος O ‖ κατὰ τὰ αὐτὰ B ‖ 11 εὐσαρκώτ. O ‖ κινούμενα P ‖ καὶ αἱ Δ i. e. D ‖ 12 συνεπιδίδονται MP συνδίδονται S ‖ ἐπὶ τοῖς ἀριστεροῖς ὤμοις BrCDM genetiuos seruauit B ‖ 13 πλέων C ‖ εὐκινήτων C κιμονητοτέρων B ‖ 14 ἀρχὴ τῶν συμπτωμάτων. Λοιπὸν S ‖ 15 ἐλίγγων M ‖ πταρμοῦ P ‖ 16 δὲ γλυκισμοῦ B ‖ σκοτ. καὶ ἐρ. Δ ‖ ἐρευγμῶν S(P) ἐρεγμῶν O ἐρετμῶν B ἐρυγμῶν Δ i. e. M ‖ τῶν om S ‖ 16 αὐτά τε — 17 σωμ. καὶ om B 17 καὶ πῶς — 18 γίγνεται om O ‖ 17. 18 λύσις ἀλλήλων P ‖ 19 αἱ τρίχες M ‖ 19. 20 ποιοὺς Br ‖ 20 αἱ add. B om ceteri ‖ 21 τε: τῆς B ‖ τῶν om B ‖ 23 πάσχουσι τοῦτο O ‖ 24 ἀφ' — 25 γὰρ om B ‖ 25 οἷον fort. del. ‖ 26. 27 παρατρέχουσι BMS ‖ 27 ἐπὶB ‖ ἑκάστου P ‖ ἐπιβάλωμεν Δ (i. e. BM) S ‖ 27 τὸ B ‖ 27. 28 βράχεως οὐλιγγιῶμεν B ‖ 29 ἀπορρεῖσθαι B ἐπηρεῖσθαι P ἐπείρεδεσθαι Δ i. e. M ‖ κάτω om B ‖ ἀπαιρείσ. O

Universitäts- und
Landesbibliothek Düsseldorf

σθαι κινῆται, καὶ τὸ ἄκρον ἐκεῖνο κινεῖται· ἄνω δ' ὅταν βλέπωμεν, ἀπερεισθήσεται † ἰοῦσά τε
ᾗ ἥλιος φαίνεται. εἰκότως οὖν κάτω βλέπουσι γίνεται ἴλιγγος.   Διὰ τί μόνον ὁ πταρμὸς ἡμῖν μ
τῆς νυκτὸς οὐ γίνεται, τὰ δ' ἄλλα ὡς εἰπεῖν ἅπαντα καὶ τῆς ἡμέρας καὶ τῆς νυκτός; Ἢ ὅτι
ὁ μὲν πταρμὸς γίνεται ὑπὸ θερμοῦ τινος κινήσαντος τὸν τόπον τοῦτον ἀφ' οὗ γίνεται; διὸ καὶ
ἀνακύπτομεν πρὸς τὸν ἥλιον ὅταν βουλώμεθα πταρῆναι· καθευδόντων δὲ ἡμῶν ἀντιπεριίσταται
τὸ θερμόν· διὸ καὶ γίγνεται τὰ κάτω θερμὰ τῶν καθευδόντων καὶ τὸ πνεῦμα πολύ. εἰκότως
οὖν οὐ πταρνύμεθα. ἀπαλλαγέντος γὰρ τοῦ θερμοῦ ἐκ τῆς κεφαλῆς, ὃ κινεῖν πέφυκε τὸ ἐν-
ταῦθα ὑγρόν (οὗ ἐξωθουμένου πέφυκεν ὁ πταρμὸς γίνεσθαι), καὶ τὸ συμβαῖνον πάθος εἰκὸς
μὴ γίνεσθαι.   Διὰ τί τρίψαντες τὸν ὀφθαλμὸν παυόμεθα τῶν πταρμῶν; Ἢ ὅτι διαπνοὴ ταύτῃ μα
γίνεται τῷ ὑγρῷ; δακρύει γὰρ ὁ ὀφθαλμὸς μετὰ τὴν τρῖψιν, ὁ δὲ πταρμὸς διὰ πλῆθος ὑγρό-
τητος. Ἢ ὅτι τὸ ἔλαττον θερμὸν φθείρεται ὑπὸ τοῦ πλείονος, ὁ δὲ ὀφθαλμὸς τριφθεὶς πλείω
λαμβάνει θερμότητα τῆς ἐν τῇ ῥινί; διὰ τοῦτο δὲ καὶ ἄν τις αὐτὴν τὴν ῥῖνα τρίψῃ, παύεται
ὁ πταρμός.   Διὰ τί ἰλιγγιῶσιν εἴς τε ταὐτὸ βλέποντες κἂν κύκλον κινούμενον ἴδωσιν; ἄτο- μβ
πον γάρ τι τὴν ἠρεμίαν τῇ κινήσει ταὐτὸν ποιεῖν ἐναντία ὄντα. Ἢ ὅτι διίστησι καὶ ἡ στάσις
τὰ ἐν τῷ κινεῖσθαι σωζόμενα; τῆς ὄψεως γὰρ στάσης, ἑνὸς μορίου, καὶ τὰ ἄλλα συνεχῆ ἐν
τῷ ἐγκεφάλῳ ἵσταται· ὁ δὲ κυκεών, ὥσπερ καὶ Ἡράκλειτός φησιν, ἐὰν μή τις ταράττῃ, διί-
σταται. τοῦτο δὴ δεῖ νοῆσαι πάσχοντα καὶ τὰ ἐν τῇ κεφαλῇ· χωριςὰ μὲν γὰρ καὶ ἠθροισμένα
εἰς ταὐτὸ τὰ βαρέα βαρύνει καὶ ποιεῖ τὸν ἴλιγγον. ἡ μὲν οὖν ἠρεμία διὰ τοῦτο ποιεῖ ἴλιγγον· ἡ
δὲ δίνησις τὰ βαρέα καὶ τὰ κοῦφα διίστησι, τὰ μὲν βαρέα εἰς τὸ μέσον, τὰ δὲ κοῦφα ἐπὶ τὸ
ἔσχατον, δέον ἅμα τούτῳ εἶναι. διὰ τοῦτο καὶ τὸ κύπτειν ἰλίγγους ποιεῖ· χωρίζεται γὰρ τὰ μὲν
βαρέα κάτω, τὰ δὲ ἐλαφρὰ ἄνω. φανερὸν δ' ἐκ τούτων ὅτι † οὐδεμίαν κίνησιν τὰ ἐν τῇ κεφαλῇ
κινεῖται.   Διὰ τί ἰλιγγιῶσι καὶ δι' ἔνδειαν καὶ διὰ πλησμονήν; Ἢ ὅτι δι' ἔνδειαν μὲν σύν- μγ
τηξις γίνεται εἰς τὰ κενά, διὰ πλήρωσιν δὲ περιττώσεως ὑπερβολὴ εἰς τοὺς πλήρεις πόρους,
ταῦτα δ' ἀμφότερα βαρύνει καὶ ἐφίστησι τὰς περιόδους, τοῦτο δ' ἐστὶν ἴλιγγος;   Διὰ τί μδ

1 ἀπερ. κινεῖται P ‖ δ' om B ‖ ἀπερεισθήσεται U ποῦ οἰσθήσεται libri ‖ † fort. ἰδοῦσί γε ‖ ἰοῦσα — 2 φαίνεται om B ‖ 2 ᾗ ἥλιος U ᾗ οἱ S(P) om Δ (sc M) et spatio relicto O ‖ φαίνεται U φέρεται libri. ceterum cf. Theophr. περὶ ἰλ. § 8 ‖ βλέποντες BO ‖ μόνος ci. Bussem. cl. Cassio pr. 44; ἡμῖν post μόνον libri em. U e Cass. et Arist. pr. XXXIII 15 ‖ 3 νυκτός, ὡς ἐπὶ τὸ πολύ, οὐ Δ i. e. M ὡς ἐπὶ τὸ π. om BCBr ‖ ἅπαντα ἃ καὶ libri ἃ del. U coll. Cassio ‖ 5 ἀνακύπτει μὲν C ἀνακύπτει B ‖ βουληθῶμεν M ‖ πτάρνυσθαι B πταρεῖν Aristot. sed ad πταρῆναι ducere uidetur etiam Cassii uitium πταρνῦναι ‖ ἀντιπεριίσταται Arist. ἀντιπερισπᾶσθαι B ἀντιπερισπᾶται Br Δ ‖ 6 καθευδ. καὶ τὸ πνεῦμα τὸ πολὺ αἴτιόν ἐστι τοῦ ἐξονειρώττειν ἡμᾶς Arist. ‖ 7 οὐ: καὶ B ‖ ἀπαλλαγέντες B ‖ ὃ: τὸ C ‖ κινεῖ B ‖ 8 ὑγρὸν οὗ ὑγροῦ C ‖ οὗ ἐξαερουμένου Arist. ‖ γίνεται BCM ‖ 8 καὶ — 9 γίνεσθαι om B ‖ 9 οὐ γίν. Δ i. e. BC ‖ τί om B ‖ τὸν πταρμόν B ‖ διότι B ‖ ἢ post ὅτι add. libri et Cassius 45, om U cum Aristot. XXXI 1 et XXXIII 8 ‖ ἀναπνοὴ Δ(i. e. M)P Cass. Ar. pr. l. ἀνάπνοια Ar. loco post.; sed cf. Alex. pr. I 21 p. 256, 1 Sylb. et h. l. p. 9, 21. 10, 1 ‖ ταὐτὸν γ. P ‖ 10 διὰ U ex Arist. ἐὰν BBr om C ἐκ πλήθους Δ i. e. M ‖ 11 πλεῖον B ‖ 12 ἣν Δ ‖ αὐτὴν τὴν ῥ. MPArist., Cassius τὴν αὐτοῦ ῥ. ΔS ‖ 13 εἴς τε U εἰς libri ‖ 14 f. γάρ τὸ ‖ ταὐτὸ ΔO ‖ διότι P ‖ 15 τὰ om P ‖ ἐν add U coll. Theophr. π. ἰλ. 9 om libri ‖ στασις B ‖ τοῦ ἑνὸς Δ i. e. B ‖ καὶ τἆλλα B ‖ 16 κυκλεύων libri em. U coll. Theophr. l. d. καθάπερ Ἡρ. φησι, καὶ ὁ κυκεὼν διίσταται μὴ κινούμενος. ‖ 16 φησι, κἂν μεταταράττῃ Δ i. e. B ‖ 16. 17 διίσταται U ex Theophr. ἵσταται libri ‖ 17 f. ταὐτὸ ‖ τ. δεῖ δὲ S ‖ φάσκοντα P ‖ κεφαλῇ· χωριστὰ μὲν U κεφ. χωριστά· τὰ μὲν P κεφ. χωρίς· τὰ μὲν ΔS ‖ 18 βαρύνει καὶ om Δ ‖ τούτων B ‖ ἴλιγγα B ‖ 19 διίστησι — κοῦφα om B ‖ 20 τούτῳ τῷ O τούτου τὸ ΔS(P) ταῦτα ci. Bussem. ‖ φανερὰν Bussem. ‖ ὅτι om ΔO ‖ † fort. add. ἄτοπον ‖ 22 διότι B ‖ μὲν om B ‖ 23 δὲ om B ‖ ὑπερβολὴ om P ὑπερβολῆς BMS ‖ τόπους B ‖ 24 ἀφίστησι B

τὸ σκορδινᾶσθαι ἡδύ; Ἢ ὅτι ἐξ ὕπνου πνεῦμα τῇ διατάσει καὶ τῇ κινήσει ποιούμενον ἰὸν
ὁμαλῶς διὰ τῶν ἄρθρων ἡδονὴν ποιεῖ; ὅτι δὲ πνεῦμα ποιεῖ, δῆλον· χασμὴν γὰρ ἅμα ποιεῖ.
με Διὰ τί ὁ πταρμὸς λυγμὸν μὲν παύει, ἐρευγμὸν δὲ οὐ παύει; Ἢ διότι οὐ τοῦ αὐτοῦ τόπου
γέγονεν ἑκάτερον τὸ πάθος, ἀλλ' ὁ μὲν ἐρευγμὸς κοιλίας, ὁ δὲ λυγμὸς τοῦ περὶ τὸν πνεύ-
μονα κατάψυξις καὶ ἀπεψία πνεύματος καὶ ὑγροῦ, κοινωνοῦσι δὲ οἱ περὶ τὸν ἐγκέφαλον τόποι
τῷ πνεύμονι; οἷον τοῖς τε ὠσί· φανερὸν δ' ἐπεὶ ἅμα ἐνεοὶ καὶ κωφοὶ γίνονται, καὶ αἱ νόσοι
ἀντιπεριίστανται αἱ τοῦ ὠτὸς εἰς τὰ τοῦ πνεύμονος πάθη, ἐνίοις δὲ σκαλεύουσι τὸ οὖς βῆχες
γίνονται. τὸ δὲ ** περὶ τὸν πταρνύμενον τῆς ῥινὸς τόπον δηλοῖ ἡ ἀναπνοὴ κοινὴ οὖσα, ὥστε
πτάρνυται μὲν θερμαινομένου, ταὐτὸ δὲ συμπάσχει ὁ κάτω τόπος. Ἡ δὲ θερμασία πέττει·
διὸ ὄξος μὲν παύει λυγμὸν καὶ ἀπνευστισμοὶ ἐὰν ἠρεμαία ἡ λὺγξ ᾖ· ἐκθερμαίνει γὰρ τὸ
πνεῦμα τὸ κατεχόμενον, ὥστε καὶ ἐν τῷ πταρμῷ ἥ τε κατάσχεσις γενομένη τοῦ πνεύματος
τοῦτο ποιεῖ, καὶ τότε ἀθρόως ἔκπνευσις γίνεται καὶ τοῦ κάτω τόπου· ἀδύνατον γὰρ πταρῆναι
°μὴ° ἐκπνέοντα. ἡ οὖν ὁρμὴ ῥηγνύει τὸ ἐγκατειλημμένον πνεῦμα ὃ ποιεῖ τὸν λυγμόν.
μς Διὰ τί χασμησαμένου τινὸς ἀντιχασμῶνται, καὶ ὅταν οὐροῦντα ἴδωσιν, οὐροῦσι, καὶ μάλιστα
τὰ ὑποζύγια; Ἢ διὰ τὴν μνήμην; ὅταν γὰρ μνησθῇ, κινεῖται τοῦτο τὸ μέρος. τοῖς μὲν οὖν
ἀνθρώποις διὰ τὸ εὐαισθητοτέρους εἶναι ἰδοῦσιν εὐθὺς συμβαίνει κινεῖσθαι καὶ ἀναμιμνήσκεσθαι,
τοῖς δὲ ὑποζυγίοις οὐκ αὔταρκες τὸ ἰδεῖν, ἀλλὰ προσδέονται καὶ ἄλλης αἰσθήσεως· διὸ καὶ
ὀσφρηθέντα, ὅτι εὐκινητοτέρα αὕτη ἡ αἴσθησις τοῖς ἄνευ λόγου. καὶ διὰ τοῦτο εἰς τὸν °αὐτὸν°
τόπον ἅπαντα οὐρεῖ, ὅπῃ τὰ πρῶτα οὔρησεν· τότε γὰρ μάλιστα κινοῦνται ὅταν ὀσφρανθῶσιν·
μζ ὀσφραίνονται δ' ὅταν πλησιάσωσιν. Διὰ τί πτάρνυνται μᾶλλον πρὸς τὸν ἥλιον βλέποντες
καὶ κινοῦντες κάρφει τοὺς μυκτῆρας; Ἢ ὅτι ὅ τε ἥλιος θερμαίνει καὶ τὸ κάρφος τῇ κινήσει,
θερμαινομένου δὲ τοῦ ὑγροῦ πνεῦμα γιγνόμενον ἐκπίπτει θᾶττον (οὐ γὰρ δύναται ὁ ἴσος τόπος
μη πλείω γιγνόμενον τὸν ὄγκον στέγειν), ἡ δὲ ἔκπτωσις πταρμὸς καλεῖται; Διὰ τί ἐν τῷ
χειμῶνι ἀναπνέουσιν ἐλαττονάκις; Ἢ ὅτι ἐν μὲν τῷ θέρει ὁ ἀναπνεόμενος ἀὴρ διὰ τὴν ἀλέαν
οὐχ ἱκανῶς καταψύχει, εἶτα πάλιν δεῖται τοῦ καταψύχοντος, διὸ ἀναπνεῖ ταχύ (τοῦτο δὲ
αἴτιον καὶ τοῦ περὶ τὰς τελευτὰς ἀναπνεῖν ταχύ· διὰ γὰρ τὴν ἀδυναμίαν τῆς ὁλκῆς τοῦτο
γίνεται· ὀλίγος γὰρ ἑλκυσθεὶς οὐ διαψύχει, ὀλίγος δ' εἰσέρχεται δι' ἀσθένειαν τῆς σπάσεως)·
μθ ἐν δὲ τῷ χειμῶνι τοὐναντίον; ἡ γὰρ ὥρα συγκαταψύχει. Διὰ τί ἀνισταμένοις ἴλιγγος 301
μᾶλλον γίνεται ἢ καθίζουσιν; Ἢ διότι ἠρεμοῦσιν αὐτοῖς τὸ ὑγρὸν συνίσταται ἐν τῇ κεφαλῇ
πλέον, κινουμένοις δὲ γίγνεται δῆλον καὶ ποιεῖ τὸν ἴλιγγον εἰς ἓν μόριον ἀθρόον ἀποκλῖναν (διὸ

1 διατάξει M διατήξει Bussem. ‖ ἰὸν emend. Bussem. εἶον libri ‖ 4 γέγονεν: γε Δ (sc M) O ‖ 3. 4 τόπου τὸ πάθος γέγονεν ἑκάτερον P ‖ 5 καὶ ante ὑγρ. om S ‖ 6 τε num ad ἑνὸς u. 8 spectat? ‖ δ' ἐπεὶ U δὲ τῷ libri ‖ ἐνεοὶ U εἶναι οἱ libri (τῷ —) ἐνεοὶ εἶναι οἱ Bussem. cl. Arist. XXXIII 1 ‖ 7 πνεύματος Δ sc. M ‖ 8 τὸ — τόπον corr. Buss. τῷ — τόπῳ libri ‖ ** fort. τὸ δὲ τῷ πνεύμονι κοινωνίαν εἶναι πρὸς τὸν κτἑ. ‖ δηλῇ P ‖ 10 ἀπνευστισμοὶ em. Bussem. cl. Arist. l. s. 'ἀπνευστία' ἀναπνευστισμοὶ libri ‖ ἠρεμία O ‖ 11 ἡ ἀντικατάσχεσις Arist. ‖ γενομένη U cl. Arist. γινομένη Δ γιγνομένη Br ‖ 12 ποιεῖ τοῦ πνεύματος καὶ P ‖ καὶ οἰκείως ἡ ἔκπνευσις γίνεται καὶ ἐκ τοῦ ἄνω τόπου Arist. ‖ 13 μὴ adi. Bussem. ex Arist. ‖ 14 οὐρῶσι P ‖ 16 εὐαισθητοτέροις Arist. VII 6 εὐαισθητότερον Δ i. e. M ‖ κινεῖσθαι καὶ om Δ(M)SO ‖ 18 ὀσφρηθέντες Br ὀσφρανθέντα Ar. ‖ τοῖς om Δ ‖ αὐτὸν add. U ex Ar. ‖ 19 ὅπου S ‖ τὸ πρῶτον Ar. ‖ οὐρήσει ΔO ‖ 21 κινοῦντας M κινοῦνται O ‖ κάρφη Br ‖ τοὺς μ. κάρφη P ‖ ὅτι om O ‖ ὅτι ὅτε ὁ M ὅτι ὁ Bussem. ‖ καὶ om P ‖ τῇ om S ‖ ‖ 23 στέργειν Br ‖ 24 χ. ἔλαττον οἱ ἄνεμοι ἀναπνέουσιν; Δ sc. M ‖ ἀλέαν Δ ‖ 25 τούτου δὲ M ‖ 29 μᾶλλον om BS ‖ καθέζουσιν Δ

Universitäts- und
Landesbibliothek Düsseldorf

καὶ τὰ ὠμὰ ᾠὰ οὐ δύναται δινεῖσθαι, ἀλλὰ καταπίπτει)· κινουμένων δὲ τὸ ὑγρὸν ὁμοίως ἔχει;
ἀνίστανται μὲν οὖν ἠρεμήσαντες ὅτε οὕτω διάκεινται· καθιζάνουσι δὲ ἐν κινήσει γενόμεναι
ὅτε ὁμαλῶς ἔχει τὸ ὑγρὸν καὶ ἐσκέδασται. Διὰ τί τῶν μὲν ἄλλων πνευμάτων αἱ διέξοδοι ν
οἷον φύσης καὶ ἐρευγμοῦ οὐχ ἱεραί, ἡ δὲ τοῦ πταρμοῦ μόνη; Πότερον ὅτι τριῶν ὄντων τόπων,
κεφαλῆς καὶ θώρακος καὶ τῆς κάτω κοιλίας, ἡ κεφαλὴ θειότατον, (ἔστι *δὲ* φῦσα μὲν [ἀπὸ]
τῆς κάτω κοιλίας πνεῦμα, ἐρευγμὸς δὲ τῆς ἄνω, ὁ δὲ πταρμὸς τῆς κεφαλῆς), διὰ δὲ τὸ
ἱερώτατον εἶναι τόπον καὶ τὸ πνεῦμα τὸ ἐντεῦθεν ὡς ἱερὸν προσκυνοῦσιν; Ἢ ὅτι τὰ πνεύματα
σημαίνει τοὺς εἰρημένους τόπους βέλτιον ἔχειν, ὡς ἐπὶ τὸ πολὺ μὴ διαχωρούντων (κουφίζει
γὰρ τὸ πνεῦμα διεξιόν), ὥστε καὶ ὁ πταρμὸς τὸν περὶ τὴν κεφαλὴν τόπον ὅτι ὑγιαίνει
καὶ δύναται πέττειν; ὅταν γὰρ κρατήσῃ ἡ ἐν τῇ κεφαλῇ θερμότης τὴν ὑγρότητα, τὸ
πνεῦμα τότε γίνεται πταρμός· διὸ καὶ τοὺς ἐκθνήσκοντας κρίνουσι πταρμικῷ, ὡς ἂν μὴ
τούτῳ δύνωνται πάσχειν, ἀσώτους εἶναι. ὥστε σημεῖον ὑπὲρ τοῦ ἀρίστου τόπου καὶ
ἱερωτάτου προσκυνοῦσιν ὡς ἱερόν, καὶ φήμην ἀγαθὴν ποιοῦνται. Διὰ τί ὁ ἄνθρω- να
πος μᾶλλον πτάρνυται τῶν ἀλόγων ζῴων; Πότερον ὅτι τοὺς πόρους εὐρεῖς ἔχει δι' ὧν
τὸ πνεῦμα καὶ ἡ ῥύμη εἰσέρχεται; τούτοις γὰρ πληρουμένοις πνεύματος πτάρνυται. ὅτι
δ' εὐρεῖς, σημεῖον ὅτι ἥκιστα ὀσφραντικὸν τῶν ἄλλων ζῴων· ἀκριβέστεροι δ' οἱ λεπτόποροι.
εἰ *οὖν εἰς* μὲν τοὺς εὐρεῖς πλέον καὶ πλεονάκις εἰσέρχεται τὸ ὑγρόν, οὗ πνευματουμένου ὁ
πταρμὸς γίνεται (τοιούτους δὲ μάλιστα τῶν ζῴων οἱ ἄνθρωποι ἔχουσι), πλειστάκις ἂν πταρνῦντο
εἰκότως. Ἢ ὅτι ἐλάχιστοι οἱ μυκτῆρες, ὥστε τὸ θερμανθὲν ὑγρὸν ταχὺ ἐξιέναι δύνασθαι πνεῦμα
γενόμενον, ἐν δὲ τοῖς ἄλλοις διὰ τὸ μῆκος καταψύχεται πρότερον; Διὰ τί οἱ πρεσβῦται χα- νβ
λεπῶς πτάρνυνται; Πότερον ὅτι οἱ πόροι συμπεπτώκασι δι' ὧν τὸ πνεῦμα ἐκκρίνεται; Ἢ τῷ
ἀδυνατεῖν ἄνω βλέπειν ῥᾳδίως, βίᾳ ἀφιᾶσι κάτω; Διὰ τί, ἐάν τις ἀπνευστιάζῃ, ἡ λὺγξ νγ
παύεται; Ἢ διότι ἡ μὲν λὺγξ ἀπὸ καταψύξεως γίνεται (διὸ καὶ οἱ φοβούμενοι καὶ οἱ ῥιγῶντες
λύζουσι), κατεχόμενον δὲ τὸ πνεῦμα ἐκθερμαίνει τὸν ἐντὸς τόπον; Διὰ τί τῶν τετελευτηκότων νδ
οἱ ὄνυχες ται αἱ τρίχες αὔξονται ἐπί τινα χρόνον, καὶ τῶν πρεσβυτῶν; Ἢ διότι τῶν περὶ τὸ
302 σῶμα ἀπαθέστατα ταῦτ' ἐστίν (ὕστερον οὖν τὸ πάθος τοῦ συμπτώματος), ἐπί τινα χρόνον

1 ᾠὰ add. U cl. Arist. VI 4. Theophr. π. ἰλ. 2 om libri ‖ δινεῖσθαι U κινεῖσθαι libri ‖ immo ὁμαλῶς ἔχει ‖ 2 ἀνιστάντες B ‖ καθέζουσι Δ auctore B ‖ 2. 3 ἐν κινήσει γενόμενοι ὅτε em. Bussem. ex Arist. ἡ κίνησις γιγνομένη (γινομένοις BM γιγνομένοις O) τε libri ‖ 3 ἔχειν B ‖ ἠσκέδασται B ‖ 4 οὐχ (δ' οὐχ B) ἱεραί, οἷον φύσης καὶ ἐρ. ΔS ‖ τοῦ om O ‖ ὄντων τῆς κ. B ‖ 5 prius καὶ om B ‖ θειοτάτη M ‖ δὲ adi. Buss. ex Arist. XXXIII 9 θειότατόν ἐστι· φῦσα libri ‖ ἀπὸ incl. U ‖ 6 κοιλίας om B ‖ δὲ ante τῆς om B ‖ διὰ δὲ MP διὰ γοῦν Δ (sc. B) S(O) ‖ 6. 7 τὸν ἱερ. B ‖ 8 ἔχει B ‖ 9 τὸ om Δ ‖ ὑγιαίνει U ex Arist. πνεῖ libri ‖ 10 θερμότητος O ‖ 11 ἐκθνήσκοντας Bussem. ex Arist. ἔξω (ἔξωθεν P) θνήσκοντας libri ‖ κινοῦσι Arist. ‖ πταρμῷ B ‖ 12 πάσχει B ‖ τούτῳ et ἀσώτους U ex Arist. τοῦτο et σώους libri ‖ εἶναι: ὄντας Ar. ‖ ὥστε ὡς Bussem. ex Arist. ‖ ἀορίστου P ‖ 13 ἱερώτατον B Br ‖ προσκυνοῦται S(P) ‖ 13–20 neglexit Brand. recordatus problematum Arist. X 18 et XXXIII 10 ‖ 14 μάλιστα τῶν ἄλλων ζῴων Arist. ‖ 15 ῥύμη: ὀσμὴ Ar. X 18 ‖ 16 οὖν εἰς post μὲν ins. Bussem. ex Arist. om M ‖ 18 ὁ U ex Ar. om Δ ‖ πτάρνυντο Δ Ar. XXXIII πτάρνοιντο Ar. X 'Lege πταρνύοιντο uel πτάροιντο uel ἐπτάρνυντο' Bussem. ego πταρνῦντο optatiuum duxi ‖ 19 ἐλ. κατὰ τὸ μῆκος οἱ Ar. X ‖ τὸ post ὥστε ex Ar. addi iussit Bussem. ‖ 21 συμπτώκασι B ‖ Ἢ διὰ τὸ P ‖ 22 ἀδ. ἀναβλέπειν BS (αἴρειν τὰ ἄνω Ar.) ‖ ἀπνευστιάζῃ U ex Arist. XXXIII 13 ἀποπνευματίζῃ libri. An ἀπνευστίζῃ coll. p. 12, 10 ἀπνευστισμοί? ‖ 23 Ἢ om B ‖ ὑπὸ M ‖ ψύξεως Δ (i. e. B) ‖ ῥεγῶντες P ῥιγοῦντες ΔS ‖ 24 λύζουσιν B ‖ θερμαίνει Δ ‖ ἐκτὸς MP ‖ τελευτηκότων B ‖ 25 αὐξάνονται P ‖ διότι τὸ περὶ τὸ B ‖ 26 ἀπαθέστατα U ἀπαθέστερα (-ρον P) libri ‖ ταῦτά ἐστιν Δ ‖ ἐπὶ τινι χρόνῳ P

νε αὔξεται; Διὰ τί ποτε αἱ ἐν τῷ πώγωνι τρίχες βραδύτερον παραγινόμεναι θᾶττον φθείρονται;
Ἢ διότι ὡς ἐπὶ τὸ πολὺ αἱ ἐν τῷ πώγωνι τρίχες πυρρότεραι τῶν ἐν τῇ κεφαλῇ γίνονται;
ἐλάττων οὖν ἡ μετάβασις ἐκ τῆς πυρρᾶς τριχὸς εἰς τὴν λευκὴν ἢ ἐκ τῆς μελαίνης. Ἢ ὅτι τὰ
ἐκ κεφαλῆς ῥεύματα πάντα εἰς τὸ στόμα φέρεται καὶ εἰς τοῦτον τὸν τόπον; διὸ ἀσθενεστέρα
ἡ θρὶξ γίνεται· διὰ τὴν ἀσθένειαν οὖν μᾶλλον πολιοῦται. Εἶτα τριχὸς οὐχ αὕτη ἐστὶ διαφορὰ
μόνον, ἀλλὰ καὶ τὸ ἐκρεῖν ἐν τῇ κεφαλῇ μᾶλλον ἢ ἐν τῷ πώγωνι ἐγγίνεται· φαλακροὶ γὰρ
νϛ τὴν κεφαλὴν τελέως γίγνονται. Διὰ τί ὁ πώγων ὡς ἐπὶ τὸ πολὺ καὶ μᾶλλον καὶ πρότερον
πολιοῦται τῆς κεφαλῆς ὕστερος γιγνόμενος; Ἢ ὅτι ἡ πολιὰ δι' ἀσθένειαν παραγίνεται τόπου
καὶ τροφῆς, ὥστε ὅπου τοιαῦται αἱ τρίχες, καὶ ὅστις μάλιστα τοιοῦτος τόπος, οὗτος ἂν μά-
λιστα [πλεῖστα] πολιοῖτο· αἱ δ' ἐν τῷ γενείῳ τρίχες τοιαῦται, καὶ ὁ τόπος τοιοῦτος; σημεῖον
δὲ καὶ τὸ θῆλυ· ἐνταῦθα γὰρ μόνον τρίχας ἁπλῶς οὐκ ἔχει, ἐπὶ δὲ τῆς ἥβης καὶ ἐν ταῖς
μασχάλαις ἔχει· καὶ οἱ τὴν γένεσιν διαφθειρόμενοι μάλιστα κυρίως τοῦτο ἐπιτηροῦνται. ὥστε
ὅσοι πολιοῦνται, διὰ τοῦτο τὸν πώγωνα πολιώτατοι γίνονται· πρῶτος γὰρ δι' ἀσθένειαν μάλιστα
νζ πάσχει. Διὰ τί αἱ ἐν τῇ ἥβῃ τρίχες βραδύτεραί εἰσι καὶ ἧττον αὔξονται τῶν ἐν τῷ
πώγωνι πρότερον γινόμεναι καὶ ἐν ὑγροτέρῳ τόπῳ οὖσαι; Διότι ὁ τόπος ἀραιὸς ὁ περὶ τὴν
ἥβην ἐστὶ καὶ ὑγρός, ὥστε ἀεὶ μὲν ἔχει τροφήν (διὸ οὐκ ἐκλείπει), ἀλλ' ὀλίγην· οὐ γὰρ ὑπο-
μένει †ὡς αὐξητέον. ὅτι δ' ἀραιὸς ὁ τόπος, τοῦτο δηλοῖ ὁ γινόμενος ὄγκος τῶν αἰδοίων· ὁ δὲ τοῦ
νη γενείου ἧττον τοιοῦτος. Διὰ τί ἐν τοῖς ἐπὶ τῶν ποδῶν ὄνυξι τὰ λευκὰ σημεῖα οὐκ ἐγγίνεται
ὥσπερ ἐπὶ τοῖς τῶν χειρῶν, ἃ καλοῦσιν οἱ μὲν ἐραστάς, οἱ δὲ ψεύδη; Ἢ διότι τῷ βραδέως
αὐξάνεσθαι τοὺς ἐπὶ τῶν ποδῶν ὄνυχας ταχὺ μελαίνεται πρὶν κινηθῆναι καὶ αὐξηθῆναι [ἐπεὶ
δῆλον] τὸ ἐπὸν ἐπὶ τοῦ δέρματος, τοῦτο δ' ἐστὶ τὰ λευκὰ σημεῖα, ἅπερ ἐν τοῖς ἄνω ὄνυξι [τὰ
νθ λευκὰ] φαίνονται· οἱ δ' ἐπὶ τῶν χειρῶν ταχὺ αὔξονται. Διὰ τί οἱ τῶν γερόντων ὄνυχες
σκληρότεροι ἢ οἱ τῶν νεωτέρων εἰσίν, αὔξονται δὲ θᾶττον; Ἢ σκληρότεροι μὲν διότι καὶ τὸ δέρμα
σκληρότερον καὶ τὰ ὀστᾶ καὶ ὅλα τὰ γεώδη διὰ τὸ ἐξανηλῶσθαι τὸ ὑγρόν, ὁ δὲ ὄνυξ τοιούτου
γένους ἐστί· θᾶττον δὲ αὐξάνεται, διότι πλείονα τροφὴν λαμβάνει; πλεῖον μὲν γάρ τό γε
περίττωμα τὸ γεῶδες ἐν τῷ γήρᾳ, ἐκ δὲ τῶν τοιούτων περιττωμάτων τρέφονται τρίχες καὶ 303
ξ ὄνυχες. Ἢ ὅτι καὶ τὰ μὲν ὀστᾶ μέχρι τινὸς αὐξάνεται, τὰ δὲ οὔ; Διὰ τί οἱ τοῦ ἀνθρώ-
που ὄνυχες μαλακώτατοι; Πότερον ὅτι καὶ τὸ δέρμα, οἱ δ' ὄνυχες ἐκ τοῦ δέρματος γίνονται;
Ἢ ὅτι τοῖς ἄλλοις ἄλλοι ὄνυχες· ὅσοις οὖν σκληρότεροι, τούτοις χρήσιμοί εἰσι μᾶλλον;
ξα Διὰ τί οἱ ἐκ γενετῆς τυφλοὶ οὐ γίνονται φαλακροί; Πότερον ὅτι μεθέστηκεν ἡ θερμότης πηρω-

1 αἱ ci. Bussem. om libri ‖ φθείρονται Br λευκαίνονται Δ i. e. M. ‖ 4 ἐκ τῆς κ. Δ ‖ τὸν om S ‖ οὐχ αὕτη U οὐχὶ αὐτὴ O οὐχ ἡ αὐτὴ Δ S(P) ‖ 6 τὸ ἐκρεῖν ἐν τῇ κεφαλῇ ci. Bussem. ἐν τῷ ἐκρεῖν (ἐκκρεῖν O ἐκκλίνειν P) τὴν κεφαλὴν libri ‖ 7 καὶ ante μᾶλλον om O ‖ 8 Ἢ om Δ ‖ ἡ om Br ‖ παραγίνεται BrM τινα γίνεται Bodl. 131 γίνεται Δ ‖ πότου BrM Bodl. ‖ 9 ὥσθ' Δ ‖ καὶ om DM ‖ 9. 10 μάλιστα πλεῖστα libri μάλιστα καὶ πλεῖστα Buss. ‖ 10 πολιοῦται DM Bodl. ‖ τρίχες om Br ‖ 11 ταῖς om Br ‖ 12 μασχάλῃ P ‖ μάλιστα — ἐπιτηροῦνται BrM: δι' ἀσθένειαν παρατηροῦνται τοῦτο πάσχειν Δ auctore D ‖ ὥσθ' Δ ‖ 13. 14 πάσχει μάλιστα O ‖ 14 αἱ adi. U om libri ‖ βραχύτεραι ci. Bussem. ‖ 15 ὁ παρὰ Δ i. e. M ‖ 16 ἐλλείπει S(O) ἐλλιπῆ P ‖ ὀλίγον Δ ‖ 17 αὐξητικόν Δ f. ὥστ' αὔξονται ἧττον ‖ τοῦτο P om ΔS(O) ‖ 19 τοῖς om O ‖ 20 τοὺς ἐπὶ τοὺς πόδας Δ sc. M ‖ 20. 21 ἐπεὶ δῆλον: ut dittogr. u. ἐπὸν incl. U οὐκ ἐπίδηλον ci. Bussem. ‖ 21 ἔπον Δ ‖ ὅπερ ΔO ‖ 21. 22 τὰ λευκὰ inclusit U ‖ 24 ὅλως Δ i. e. D ‖ 25 λαμβάνεται P ‖ τό γε U τό τε libri ‖ 26 τῶν τοι. τρέφ. τρ. καὶ ὄν. περιττωμάτων Br ‖ 27 αὐξάνονται S αὔξονται D ‖ 28 οἱ γὰρ ὄν. SV ‖ 29 *aut quod alii aliis sunt ungues utiles* V

Universitäts- und
Landesbibliothek Düsseldorf

θέντων τῶν ὀμμάτων εἰς τὸν πλησίον τόπον· οὐκοῦν οὐ καταψύχεται ὁ τόπος, ἀλλ' ἀεὶ ἔχει
τροφήν· ἡ δὲ φαλακρότης ἀπὸ ψύξεως; Ἢ διότι ποτὲ μὲν ὁ τόπος ἔχει θερμότητα, ὥστε
ἀναλίσκειν τὴν τροφὴν καὶ οὐ γίνεσθαι ἐν τῷ ἔμπροσθεν περίττωμα· πηρωθέντων δὲ κατέψυκται,
ὥστε πολὺ τὸ περίττωμα ἐν τῷ τόπῳ, αἱ δὲ τρίχες γίνονται ἀπὸ περιττώματος; Διὰ τί ξβ
ὁ μὲν πώγων γίνεται πυρρὸς ἄνευ τῆς κεφαλῆς, ἡ δὲ κεφαλὴ πυρρὰ ἄνευ τοῦ πώγωνος οὐ
γίνεται; Ἢ διότι αἵ τε πυρραὶ τρίχες δι' ἀσθένειαν γίνονται, καὶ αἱ ἐν τῷ πώγωνί εἰσι τρίχες
ἀσθενέστεραι φύσει; σημεῖον δέ· ἀγένειοι γὰρ °οὐ° γίνονται ἀλλ' ἢ ὀψὲ φαλακροί. δῆλον
οὖν ὡς ὁ τόπος οὐ δύναται φέρειν· διὸ ἐὰν μὲν καὶ ὁ ἰσχυρότερος πυρρὰς φέρῃ, καὶ τὸν
ἀσθενέστερον ἀνάγκη· ἐὰν δὲ οὗτος, οὔπω ἀνάγκη καὶ τὸν ἰσχυρότερον. Διὰ τί αἱ μακραὶ ξγ
τρίχες ῥέουσιν; Ἢ διότι μοχλὸς μὲν ἡ θρίξ, ὑπομόχλιον δὲ τὸ δέρμα γίνεται, εὐκίνητα δὲ τὰ
πλέον ἀπέχοντα τοῦ ὑπομοχλίου καὶ ὅλως τοῦ ἠρεμοῦντος; δῆλα δὲ ταῦτα ἐν τοῖς Μηχανικοῖς.
Διὰ τί αἱ ἐν ταῖς βλεφαρίσι τρίχες οὐ γίνονται πολιαί; °Πότερον ἐκ ποιότητος τῆς τροφῆς° ξδ
τῆς περὶ τοὺς ὀφθαλμούς; σημεῖον δέ· πίων ἡ σὰρξ γίνεται· ἀπὸ δὲ τῆς τοιαύτης τροφῆς
εὐλόγως οὐκ αὔξεται ἐπὶ πολὺ ἡ θρὶξ αὐταῖς (ἐκ γὰρ τῶν γεωδῶν γίνεται περιττωμάτων)· οὔτε
πολιοῦται· φθορᾷ γάρ τινι καὶ φαυλότητι τῆς τροφῆς πολιοῦσθαι συμβαίνει. Διὰ τί οἱ ξε
ἐπὶ τῶν χειρῶν ὄνυχες θᾶττον αὐξάνονται ἢ οἱ ἐπὶ τῶν ποδῶν; Ἢ ὅτι εἰς τὰ ἄνω ἡ αὔξησις
μᾶλλον χωρεῖ; διὸ καὶ αἱ τρίχες μᾶλλον αὐξάνονται ἄνωθεν ἐπὶ τοῦ γενείου ἢ ἐπὶ τῆς ἥβης.
Ἢ διότι ἐν ἀλέᾳ μὲν αἱ χεῖρες, οἱ δὲ ἐν ψύξει, αὔξεται δὲ τὰ ἀλεαινόμενα μᾶλλον πάντα;
Ἢ ὅτι θερμότεραι αἱ χεῖρες καὶ ὑγρότεραι, οἱ δὲ πόδες ψυχρότατοι τοῦ σώματος, καὶ τὰ
τοιαῦτα μέρη τῶν ἄλλων, λέγω δ' οἷον τρίχες τε καὶ ὄνυχες; διὰ τοῦτο οὖν αὐτὸ τὸ καὶ
ψυχροὶ καὶ ἐν ψυχρῷ τόπῳ εἶναι δυσαυξεῖς εἰσιν· οἱ δ' ἐπὶ τῶν χειρῶν τοὐναντίον. Διὰ ξς
τί αἱ τρίχες οὖλαι γίνονται; Ἢ ὅτι δύο φορὰς φέρονται, † κρατουμένης δ' ἔσωθεν φορᾶς **.
304 °Ἢ ὑπὸ° τῆς ἐν τῷ περιέχοντι θερμότητος; διὸ καὶ οἱ Αἰθίοπες τοιοῦτοι. Διὰ τί ἐν τοῖς ξζ
πυρικαύστοις τρίχες οὐ φύονται; Πότερον ὅτι πυκνὸν τὸ δέρμα γίνεται, δεῖ δὲ ἀραιὸν εἶναι,
ᾗπερ ἐκφύεται θρίξ; Διὰ τί αἱ παχεῖαι τρίχες οὐ γίνονται μακραί; Ἢ ὅτι ἡ εἰς τὸ μῆκος ξη
αὔξησις εἰς τὸ πάχος ἀναλίσκεται; Ἢ ὅτι αἱ παχεῖαι σκληραί εἰσι, τὸ δὲ σκληρὸν δυσκίνητον
ἐπὶ τὴν αὔξησιν, ἐπεὶ [σκληρὰς] διὰ τὸ γεῶδες συμβαίνει, ἡ δὲ γεώδης τροφὴ οὐ θέλει ἄνω
πέμπεσθαι· διὰ βραχύτητα οὖν τῆς κινήσεως τῷ αὔξοντι θερμῷ φθάνει καταλαμβανομένη ἡ

3 γίνεσθαι U γίνεται libri ‖ ἔμπροσθεν P *in sincipite* V πρόσθεν Δ (sc M) S ‖ 4 *ab superfluitatibus* V ‖ 6 τε om O ‖ αἱ ci. Bussem. om libri ‖ 7 οἱ γὰρ ἀγ. ci. Bussem. ‖ οὐ ci. Buss. om libri ‖ φαλακρά Δ sc M ‖ 8 et 9 τὸν ci. Bussem. cum Valla τὸ libri ‖ 9. 10 τί ῥεῦμα αἱ τρίχες B ‖ 11 πλ. ὑπάρχοντα B ‖ δὲ om BOV ‖ 12 αἱ U om libri ‖ *utrum ob proprietatem nutrimenti quod circa oculos.* V unde Ἐκ ποι. τ. τροφῆς ins. Buss. πολιαὶ ταῖς περὶ τ. ὀφθ.; Br ‖ 14 ἡ: εἰ O ‖ αὐταῖς U αὐτῆς libri ‖ γεωδῶν U τοιούτων libri τοιούτων [οὐ] Buss. ‖ γίνονται S(O) ‖ 16 ὄνυχες om Br ‖ οἱ om Δ sc. M ‖ 17 αἱ ci. Bussem. om libri ‖ τοῦ om Br ‖ 18 ἀλέᾳ et ἀλεαιν. Δ ‖ οἱ δὲ πόδες ἐν ci. Bussem. *pedes uero* V ‖ 20 αὐτὸ τὸ ci. Buss. αὐτὸ Δ (sc M) OV αὐτοὶ S(P?) ‖ 21 εἶναι ΔP ὄντες S(O)V ‖ 22. 23 *retenta introrsum productione a circum ambiente caliditate* V quo duce legendum esse κρατ. δὲ τῆς ἔσω φορᾶς ὑπὸ τῆς praue putauit Bussem. Quod mutilum esse statui locum et ἢ ὑπὸ interposui, auctore usus sum Aristotele De anim. gener. v 3 p. 782 b 21-29 ‖ 24 πυρικαύτοις Δ i. e. M ‖ 25 εἴπερ A ‖ ἡ om O ‖ 26 ὅτι καὶ σκληραὶ καὶ παχ. τὸ οὖν σκλ. A ‖ 27 περὶ A ‖ ἐπεὶ [σκληράς] (i. e. fort. σκληρότης) U *duricies siquidem* V καὶ σκληρὰς BrM τὸ δὲ σκληρὸν Δ i. e. A ‖ 27. 28 ἀναπέμπεσθαι Δ i. e. A ‖ 28 θερμὸν A τοῦ αὔξοντος θερμοῦ ci. Bussem. ‖ φθάνεται Δ ‖ καταλαβομένη Δ i. e. A ‖ ἡ om Br

Universitäts- und
Landesbibliothek Düsseldorf

ξθ ἑτέρα ὑπὸ τῆς ἑτέρας, ὥστε εἰς βάθος καὶ πλάτος αὔξεσθαι καὶ οὐκ εἰς μῆκος; Διὰ τί δὲ
πυκνότεραι τῶν λεπτῶν αἱ παχεῖαι; Πότερον ὅτι φαίνονται διὰ τὸ πάχος; ἔλαττον γὰρ τῶν
ἴσων τὸ μεταξὺ φαίνεται. Ἢ διὰ τὸ βραδέως εἰς μῆκος αὔξεσθαι κατὰ πλείους τόπους ἡ
ο τροφὴ ἀνατέλλει ἐπιβιβαζομένη ἐντός, οὐ ταχὺ ὑπεξαγούσης τῆς ἔξω εἰς τὸ ἄνω; Διὰ τί
αἱ σκολιαὶ τρίχες, ὅταν πάθωσιν, ἂν εἰς τοὐναντίον ἔλθῃ, τοσοῦτον μᾶλλον εἰς τὴν φύσιν καθί-
οα στανται; Ὅτι ἐκείνων ἡ φύσις σκολιά, τοῦ δ' εὐθὺ ἐναντίον. Διὰ τί οὐκ ἐν τοῖς ὀστώδεσι
λεπτότεραι αἱ τρίχες; Ἢ ὅτι παχὺ τὸ δέρμα ταύτῃ, ἐκ δὲ τοῦ παχέος παχύτεραι γίνονται.
οβ Διὰ τί αἱ πυρραὶ τρίχες μελάντεραι γίνονται πυρούμεναι; Ἢ διότι πέττεται μᾶλλον ἐν ὀλίγῳ
τὸ ὑγρὸν γινόμενον ὑπὸ τῆς ἐνούσης ἐν τῇ ἀρχῇ θερμότητος· ἔστι δ' ἡ μὲν πυρρὰ ἐκ νοσούσης,
ογ ἡ δὲ μέλαινα ἐξ ὑγιοῦς τροφῆς; Διὰ τί Αἰθίοπες μὲν οὐλότριχες, Σκύθαι δὲ καὶ οἱ πρὸς
ἄρκτον εὐθύτριχες; Ἢ διότι ξηραινομένη ἡ θρὶξ ὑπὸ τοῦ ἡλίου συγκάμπτεται ὥσπερ καὶ τὰ
ἄλλα, οἱ δὲ Αἰθίοπες πρὸς τῷ ἡλίῳ καὶ ἐν ὑπερβολῇ θερμοῦ διατελοῦσιν· οἱ δὲ Σκύθαι ἐν
ψυχρῷ τόπῳ, οὗπερ τὸ ὑγρὸν τὸ ἐν ταῖς θριξὶν οὐκ ἐξατμίζει ὁ ἥλιος, ὥστε οὐδὲ συγκάμπτον-
ται; ἐπεὶ οὖν ἀνάγκη ἢ κεκλασμένας εἶναι ἢ εὐθείας, εἰ μὴ κεκλασμέναι, εὐθεῖαι ἔσονται.
οδ Διὰ τί τοῖς τε ἀσθενοῦσι καὶ τοῖς πρεσβύταις τὸ μὲν ἄλλο σῶμα φθίνει, οἱ δὲ ὄνυχες καὶ αἱ
τρίχες αὔξονται; Ἢ ἐπειδὴ τῆς τροφῆς ἡ μὲν εἰς σάρκας, ἡ δὲ εἰς χολήν, ἡ δὲ εἰς τὰ λεπτομερῆ
διαδίδωσιν· ὅσα μὲν οὖν θερμὰ καὶ ἰσχυρὰ σώματα, εἰς χολὴν δύνανται καὶ εἰς αἷμα διδόναι
τὴν τροφήν, τά δ' ἀσθενῆ εἰς ταῦτα μὲν οὔ, εἰς δὲ τὰ ἐλαχίστης δεόμενα τροφῆς οἷον ὄνυχάς
τε καὶ τρίχας; ὥσπερ καὶ τοὺς Ἰλλυριοὺς λέγουσιν ἐξυρημένους ἐν ταῖς μάχαις καὶ ἀποθα- 305
νόντας ἐν ὀλίγαις ἡμέραις δασείας τὰς κεφαλὰς ἔχειν, ὡς φθίνοντα τὰ σώματα εἰς ταῦτα τὴν
οε τροφὴν διέδωκεν. Διὰ τί αἱ ἐν τοῖς ποσὶ τρίχες ἥκιστα πολιοῦνται ἢ ὀψὲ λευκαίνονται τοῖς
πολλὰ ἔτη ζῶσι; Πότερον ὅτι αἱ ἐν τῷ προσώπῳ πρότεραι πολιοῦνται ἤπερ αἱ ἐν τῇ κεφαλῇ
ἢ αἱ ἐν τῷ γενείῳ, ἐναντιώτατος δὲ ὁ τόπος ὁ ἄνω τῷ κάτω, ἐν δὲ τοῖς ἐναντίοις εὔλογον ἐναντίον 306
συμβαίνειν; Ἢ διότι ἡ πολιὰ δοκεῖ γήρως εἶναι σημεῖον, τὸ δὲ γῆρας φθίσις τις καὶ ἔκλειψις
θερμότητος; Ὁ μὲν οὖν τρόπος, διότι γίνονται πολιαί, ἄλλου λόγου· ἀλλὰ τὸ γένος τῆς αἰτίας
τοῦ πάθους τούτου συμβαίνει πρεσβυτέρων γενομένων καὶ τῷ τὸ θερμὸν ὑπονοστεῖν· διὸ καὶ
°ῥυτιδοῦται τὰ° πρόσωπα καὶ τὰ αἵματα παύεται [τὰ] ἐκ τῶν ῥινῶν ῥέοντα, αἱ δὲ κνῆμαι

1 ὑπό: fort. ἄνευ; an ἑτ. τὴν ἑτέραν? ‖ αὔξασθαι O om A ‖ οὐκ om Br οὐκ εἰς om A ‖ δὲ om MS(O) ‖ 2 Πότερον ὅτι U πότερον γὰρ A πότερον Δ (sc M) S (O) V ὅτι P ‖ 3 ἢ διὰ τὸ em. Bussem. *aut quod* V ἡ τὸ διὰ BrM τὸ A ‖ βραδέος S(P) βραχέος O *statim* V ‖ πολλοὺς A ‖ τόπους ci. Bussem. τρόπους libri ‖ 4 ἀντέλλει A ‖ ἐπιβιαζομένη ΔOV ‖ ὑπεξαυγ. M ‖ ἔξω U ἔξεως libri ‖ 4-6 pr. LXX om MOS et uacuo spatio relicto R ‖ 5 ὅταν πάθωσιν om A [ὅσον] ins. Bussem. ‖ 6 ἐκείνων δ' (om ὅτι) P ‖ σκαλία P ‖ τὸ δ' Bussem. fort. τοῦ δὲ τὸ ‖ ἐναντίων A ‖ 7 ἢ om Δ(AM) ‖ τὸ δέρμα παχὺ O ‖ ταύτῃ Bussem. ταυτί ABr τουτί M ‖ 8 πυρρούμεναι MS ‖ 9 ἡ μὲν λιπαρὰ τῆς ἐκ B ‖ 10 ὑγροῦς Br ‖ 11 διότε O ‖ ἡ om AMBr ‖ συγκάπτεται O συγκαλύπτεται P ‖ 12 περισσῷ ἡλίῳ A ‖ 13 ὅπουπερ Δ sc M ᾧπερ A ὅθεν οὐδὲ D ‖ 13. 14 συγκάμπτεται AMBr ‖ 14 οὖν Bussem. *quodsi* V οὐκ libri ‖ ἢ post ἀν. U om libri ‖ εἶναι post εὐθ. O ‖ ἢ μὴ εὐθ. A ‖ εἰ: ἢ Br ‖ 16 ἡ δὲ εἰς τὰ — 17 χολὴν om A ‖ 17 δίδωσιν Δ ‖ post. εἰς om O ‖ διδόσθαι O ‖ 19 Ἰλυριοὺς S Ἰλλυρικοὺς P ‖ ἐξυρημένων MO ἐξηριμένων A ἐξηρημένων (*euulsis capillis!*) Bussem. ‖ ἐν ταῖς μάχαις om Δ ‖ 19. 20 ἀποθανόνταις A ἀποθανόντων BrΔ (i. e. M) ‖ 20 ἔχ. καὶ φθίνοντας τὰ A ‖ φθεῖνον τὰ σ. O ‖ 21 αἱ om AMO ‖ τοῖς om S(O) ‖ 22 *prius* V πρῶται Δ πρῶτον P ‖ 23 ἢ — γενείῳ om Δ ‖ δ' ὁ ἄνω τόπος Δ ‖ εὐλόγων A ‖ *contraria* V ἐναντίως ΔS(O) ‖ 24 συμβαίνει BrV fort. εὐλόγως (*iure* V) ἐναντίον συμβαίνει ‖ ἡ πολλὴ A ‖ ἔλλειψις P ‖ 25 f. τρ. δι' οὗ ‖ 26 τούτου S(O)V τοῦτο ΔP ‖ καὶ del. Bussem. ‖ τὸν θ. A ‖ 27 τὰ πρόσωπα [ῥυτιδοῦται] Bussem. *rugae os subeunt* V πρόσωπα libri ‖ παύονται MS(O) ‖ τὰ incl. U

Universitäts- und
Landesbibliothek Düsseldorf

ἐξικμεῖς τῶν πρεσβυτῶν καὶ αἱμορροΐδες γίνονται. εἰ οὖν ἡ μὲν πολιὰ ἐνδείᾳ γίνεται ὑγρᾶς
θερμότητος, εἰς δὲ τοὺς πόδας κατέρχεται ἡ τοιαύτη δύναμις, ὥσπερ καὶ αἱ ἐν τῇ ἥβῃ ὕστερον
πολιοῦνται τῶν ἄνω, ἔτι καὶ αἱ ἐν τοῖς ποσὶ μᾶλλον τούτων· ὅταν δὲ ἐκ παντὸς ἐξικμασθῇ
ἡ ὑγρὰ θερμότης διὰ τὸ πλῆθος τῶν ἐτῶν, τότε καὶ αἱ ἐν τοῖς ποσὶ τρίχες γίνονται λευκαί.

Διὰ τί τὰ μὲν ἔρια τῷ ἐλαίῳ ῥαινόμενα λευκότερα γίνεται, αἱ δὲ τρίχες τῶν ἀλειφομένων οε
μελάντεραί εἰσι (καὶ γὰρ τὰ ἔρια τρίχες); Ἢ ὅτι τὰ μὲν ῥυπαρὰ ξανθότερα γίνεται, αἱ δὲ
τρίχες ξηραινόμεναι καὶ ἀπιόντος τοῦ ἐν αὐταῖς ὑγροῦ λευκαίνονται; τὸ οὖν ἔλαιον κωλύει·
ἥκιστα γὰρ ξηραίνονται. ἐπὶ δὲ τούτῳ ἀνομοίως συμβαίνει ἐχούσας προβάλλειν τὰς τρίχας,
ἀλλὰ τὰς μὲν ἔτι ζώσας ἐν τῷ σώματι, τὰ δ' ἔρια ἀφῃρημένα. Διὰ τί τῶν μὲν προ- οζ
βάτων μαλακώτεραι αἱ τρίχες ἀναφύονται τιλλομένων, τῶν δ' ἀνθρώπων σκληρότεραι; Ἢ
ὅτι αἱ μὲν**. **παχύνονται ὅσῳ ἂν μακρότεραι γένωνται, ἀποψύχει γὰρ δι' ἀσθένειαν τοῦ
θερμοῦ τοῦ ἐν αὐταῖς ὁ ἀὴρ ὁ κύκλῳ, καὶ μᾶλλον ὅσῳ ἂν πορρωτέρω τοῦ οἰκείου θερμοῦ γί-
νωνται, ὥστε ἐπιτελοῦνται· αὐξανόμεναι δὲ διὰ μὲν παχύτητα πλέον ἔχουσι τὸ θερμόν, διὰ
δὲ τὸ λίαν ἀποξηραίνεσθαι † ῥέοντα εἰ μή τι κωλύει, λεπτότεραι ἔτι διὰ τὴν αὔξησιν; Διὰ οη
τί τοὺς κροτάφους πολιοῦνται μὲν τάχιστα, φαλακροὶ δὲ ἥκιστα γίνονται, καίτοι μηδέτερον
ἢ ἄμφω ἔδει; Ἢ ὅτι ἡ μὲν πολιὰ γίνεται τῷ ποιάν τινα εἶναι τὴν τροφὴν τὴν εἰς τὰς τρίχας
διδομένην, ἡ δὲ φαλακρότης τῷ ποσήν; ὅταν γὰρ ψυχθῇ ἡ τροφή, οὐκ αὔξεται, ἀλλ' ὥσπερ
τὰ δένδρα τοῦ χειμῶνος, καὶ ὁ τόπος ἐκεῖνος φυλλορροεῖ ψυχρᾶς γενομένης καὶ οἷον παγεί-
σης· ὀλίγη °γὰρ° παροῦσα ἀδύνατος τρέφειν. ἡ δὲ πολιὰ ἐκ σαπρᾶς τροφῆς ἐστι, σήπεται
δὲ ὅταν ἀπεπτότερα ἕλκῃ. οὔκουν ἡ αὐτὴ αἰτία ἐστὶν ἀμφοῖν, διὸ οὔτε ἅμα οὔτε τοῖς αὐτοῖς
306 παραγίνεται τόποις [τὸ δὲ σκέμμα ὅλως φυσικώτερον ἢ προβληματικώτερον]. Οἱ δὲ κρόταφοι
ἐπὶ φλεβῶν εἰσι πολλῶν καὶ πυκνῶν, ὥστε ἔχουσι θερμότητα καὶ οὐχ ὑπολείπει ἡ τροφή,
ἀλλὰ μᾶλλον διὰ τὸ πολλὴν ἅμα εἶναι προϊούσης τῆς ἡλικίας οὐ δύναται πέττεσθαι ἀλλὰ
σήπεται· ἐκ τοιαύτης δὲ γίνεται πολιά, ὥσπερ καὶ οἱ μύκητες ἐξ εὐρωτιώσης ἰκμάδος· οὐ γὰρ
πάντα μελαίνει τὰ σηπόμενα, ἀλλ' ὁ εὐρὼς λευκός, καὶ ὁ σκώψας κωμῳδοποιὸς εὖ ἔτυχεν
εἰπών· 'εὐρῶτι γήρως τὰς τρίχας βεβαμμένος'. Διὰ τί οὐκ ἐν ταῖς νόσοις, ἀλλ' ἐκ οθ

1 πρεσβυτέρων M ‖ 2 ἡ om S ‖ 2 et 3 αἱ om Br ‖ 4 ἡ om O ‖ αἱ Bussem. om libri ‖ 5 γίνονται P ‖ 7 ξηραινομένου P ‖ ἀπιοῦντος A ‖ λευκαὶ γίνονται Δ i. e. A ‖ 8 ξηραίνεται pr M ‖ ἐπεὶ A ἔτι Bussem. ‖ τοῦτο Δ (sc A) P ‖ ἀνομοίως U ὁμοίως libri Fort. συμβαίνει οὐχ ὁμοίως ‖ ἐχούσας U ἐχούσαις libri ‖ προβάλλειν τὰς U προβάλλοντας Δ (sc A) S (O) προσβάλλοντας MP ἔχουσι προβάτοις τὰς ci. Bussem. *nec in hoc similiter habere contingit: ut uillos qui ablati sunt comparemus cum iis qui adhuc in corpore uirent* V ‖ 9 ἀλλὰ U ἅμα libri ‖ 10 ἀναφέρονται libri ‖ τιλλόμεναι P (S?) V Arist. pr. x 22 ‖ 11 μὲν τρίχες παχ. A ‖ ** desunt quibus hoc pr. soluatur; eis autem quae secuntur, nescio quae diuersa de capillis (cf. Ar. pr. x 23) quaestio tractatur ‖ γίνωνται Δ (sc M) γίνονται AS ‖ αὐτοῖς Δ ‖ ἴσω A ‖ 13 an ὥστε πιλοῦνται? ‖ 14 ῥέοντα libri *fluente* V ῥέοντες (sc. τρίχες!) Bussem. ‖ ἔτι Br MV εἰσι Δ i. e. A ‖ 15 πολιοῦνται τὰ μὲν O ‖ 15 Fort. καίτοι ἢ μηδ. ‖ 16. 17 τῆς — διδομένης A ‖ 17 τῷ ποσήν: τόπος ἦν A ‖ *auget* V αὔξεται libri αὔξοιται ci. Bussem. ‖ 18 ἐκεῖνος U ἕκαστος libri ‖ 19 ὀλίγους M ὀλίγης δὲ παρούσης ci. Bussem. ‖ γὰρ U om libri ‖ ἀδύνατος U ἀδύνατον libri ‖ 20 ἀπεπτοτέρα ἑλχθῇ ci. Bussem. ‖ οὐκοῦν BrM ‖ 21 τὸ δὲ — προβλημ. incl. U ‖ 22 φλεβ. φυσικώτερόν εἰσι A ‖ πυκνῶν ἢ πολλῶν P ‖ 23 ἅμα om Δ sc A ‖ 24 ἡ πολιὰ ci. Buss. immo πολ. ἡ θρίξ ‖ μύκητες Buss. μυκτῆρες libri et V ‖ εὐρωτιάσης S ‖ 25 μελαίνα S (P?) ‖ ὁ εὐρὼς λευκός Bussem. ὁ εὐχερῶς (ita etiam AM) λευκὸν PR εὐχ. λ. om SV ‖ 26 εὐρῶτι — βεβ. U conl. Ar. de an. gen. v 4 p. 784ᵇ 20 'τὰς πολιὰς καλοῦντες γήρως εὐρῶτα'; rarior enim est analogia quam qua muniti audeamus (ἔχει) εὐρῷ τὸ γῆρας τὰς τρίχας βεβαμμένας: εὐρῶ τὸ (εὐρῶτα S) γῆρας τ. τρ. βεβαμμένας MPRS εὐρωτογῆρας — βεβλαμμένας Δ sc A *tabi pilos senectus addictos habet* V

τῶν νόσων αἱ τρίχες ἐκρέουσιν; Ἢ ὅτι τότε μὲν ἔχουσι τροφήν (ἐκ τοῦ περιττώματος γὰρ γί-
νονται), μετὰ τὰς νόσους δὲ ὀλίγον τοῦτο διὰ τὸ τρέφεσθαι τὸ σῶμα· ἡ δὲ εἰσιοῦσα τροφὴ εἰς τὸ
π κατὰ φύσιν οὐκ αὔξει αὐτάς, ἀλλὰ διὰ τὴν κένωσιν προκαταναλίσκεται. Διὰ τί τῆς κεφα-
λῆς τὸ ἔμπροσθεν φαλακροὶ γίνονται, τὰ δ' ὄπισθεν οὐ γίνονται ἢ ἧττον; Ἢ ὅτι οὐκ ἔνεστιν ἐν
τῷ ὄπισθεν ἡ περίττωσις (κενὸς γὰρ καὶ ξηρὸς ὁ τόπος), τὸ δὲ ἔμπροσθεν διὰ τὸν ἐγκέφαλον
πλῆρες; ὅσοις οὖν ἐνταῦθα ψυχρὰ συλλέγεται περίττωσις, διὰ τὸ κρατεῖν τῆς θερμότητος καὶ
μὴ πέττεσθαι οὐ τρέφει τὰς τρίχας ὥστε ἀποπίπτουσι, τὸ δ' ὄπισθεν οὐκ ἔχει τοιαύτην ἀπόκρισιν
πα ἢ ἧττον διὰ τὴν εἰρημένην αἰτίαν. Διὰ τί αἱ ἐν ταῖς μασχάλαις καὶ αἱ ἐν τῇ ἥβῃ τρίχες ἧττον καὶ
αὔξονται καὶ πολιοῦνται τῶν ἐν τῇ κεφαλῇ; Ἢ ὅτι μέγισται καὶ οἰκεῖαι αἱ ἔγγιστα τῆς κεφα-
λῆς τῶν ἄλλων; διὰ γὰρ τὴν γειτνίασιν τῆς τροφῆς μάλιστα ἀπολαύουσιν· εἰκότως οὖν τῶν λοι-
πῶν αἱ ἐν τῷ γενείῳ μέγισται. Ἢ οὐ τοῦτό ἐστι τὸ αἴτιον, ἀλλὰ καθάπερ ἡ ἐλαία καὶ ἡ ἄμπελος
καὶ ὁ στάχυς, καὶ ἄλλο ὁτιοῦν τῶν τοιούτων ὡρισμένον τι μέγεθος ἔχει ὃ οὐχ ὑπερβάλλει,
καθάπερ οὐδ' ὁ ἄνθρωπος οὐδ' ὁ ἵππος οὐδὲ τὰ ἄλλα ζῷα; τὰ μὲν οὖν αὐτῶν μείζω καὶ
ἐλάττω γίνεται καὶ παρὰ τοὺς τόπους καὶ °παρὰ° τὰς τροφάς, εἰς μέντοι τὰ ἀλλήλων οὐκ
αὔξεται μεγέθη. τὰ μὲν οὖν εἰρημένα ῥᾴδιόν ἐστι διαγνῶναι, ὅτι ἕτερα τῷ εἴδει (μεγάλαι γὰρ
αἱ διαφοραί), ἐνίων δ' οὐκέτι οἷον τὴν τοῦ πυροῦ καὶ κριθῆς καλάμην ἑτέραν γ' οὖσαν τῷ
εἴδει· ὁμοίως δὲ οὐδὲ τὰς τρίχας οὐ διαγινώσκομεν διὰ τὴν ὁμοιότητα οὐσῶν ἑτέρων τῷ εἴδει.
οὐδὲν οὖν θαυμαστὸν τὸ μὴ γίνεσθαι ἴσας °οὐχ ὁμοίας° οὔσας τῷ εἴδει ἀλλὰ τὰς μὲν μι-
κράς, τὰς δὲ μεγάλας. Τοῦ μὲν οὖν μὴ γίνεσθαι μεγάλας αὕτη ἡ αἰτία. τοῦ δὲ μὴ ὁμοίως
πολιοῦσθαι νῦν λεχθήσεται· αἱ γὰρ τρίχες οὐκ ἔχουσιν οὔτε τὸ μέλαν οὔτε τὸ λευκὸν οἰκεῖον
χρῶμα, ἀλλ' ἀπὸ τῆς τροφῆς ἴσχουσι, καὶ μέλαιναι μέν εἰσιν ὅταν πολλὴν ἕλκωσι τροφὴν
συναναςπῶσαι***. καθάπερ °γὰρ° ὑπὸ τοῦ πυρὸς γῆ ἀνωθουμένη, ὅπου ἂν προσκαθίζηται,
μελαίνει προσμένουσα ἄνω, τὸν αὐτὸν τρόπον ὑπολαβεῖν δεῖ καὶ ἐν τῷ σώματι, ὅταν ἀνασπα-
σθῇ εἰς τὸν ἀνώτατον τόπον ὑπὸ τοῦ ὄντος ἐν ἡμῖν θερμοῦ μελαίνεσθαι· ὅταν δὲ ἢ δι' ἔκθλιψιν
τροφῆς ἢ δι' ἀσθένειαν τὴν τροφὴν παύσηται ἀνάγον, πολιοῦνται αὐτοῦ τοῦ ὑγροῦ ἀναγομέ- 307
νου. Ὑποκειμένου δὲ τοῦ οὕτως πολιοῦσθαι, ἡ κεφαλὴ καὶ ὁ πώγων καὶ διὰ τὴν πυκνότητα
καὶ τὸ πλῆθος τῶν τριχῶν καὶ °διὰ° τὴν ἀσαρκίαν ὅταν μὴ δύνωνται τρέφειν ὡς εἴρηται, λευ-

1 μετὰ τὰς νόσους αἱ M ‖ ὅτε τὸ μὲν AM ‖ 1. 2 γίνονται om BMOV ‖ 2 τοὺς A ‖ δὲ: γὰρ B ‖ 4 fort. τὰ ἔμπρ. ‖ οὐ γίνεται Δ ‖ οὐκ ἔστιν BrV ‖ 5 ἡ fort. del. ‖ περίπτωσις PR ‖ 5 κενὸς — 6 περίττωσις post θερμότ. collocat A ‖ 5 ὁ δ' ἔμπρ. — 6 πλήρης (nisi quod πλῆρες M) Δ ‖ 8 τί αἱ Bussem. αἱ om libri ‖ 8 alt. αἱ ἐν U om Δ (sc A) ἐν BrBMV ‖ 9 καὶ οἰκ. — 11 μέγισται om P ‖ 9 f. καὶ πυκνόταται ‖ αἱ om ABMS ‖ 10 ἀπολύουσιν Br pr A BV ἀπολλύουσιν M alt. m. A ‖ αἱ V Bussem. om libri ‖ 11 Ἢ — p. 19, 6 om BMORSV seruarunt AP ‖ ἡ ante ἄμπ. om Δ ‖ 13 καθ. οὐδ' Bussem. καθ. οὐθ' AP ‖ ὁ ἵππος U ἵππος ΔP ‖ 14 περὶ τοὺς P ‖ alterum παρὰ add. Bussem. om libri ‖ εἰ μ. P ‖ 15 μεγέθει P ‖ 16 πυρροῦ P ‖ γ' U δ' Δ om P ‖ 16. 17 οὖσαν· τῷ δ' οὐκέτι τῷ εἴδει ὁμοι** τὰς τρ. Δ ‖ 17 οὐσῶν U ὅσων P ὅσον Δ ‖ ἕτερα P ‖ 18 τῷ μὴ P ‖ 18 ἴσας om A ‖ οὐχ ὁμοίας Bussem. om AP ‖ εἴδει Bussem. εἴδει δι' P ἰδηδὶ A ‖ τοῦ post ἀλλὰ ins. et cum 19 αὕτη ἡ αἰτ. iunxit Bussem. nam 19 τοῦ μὲν οὖν — μεγάλας om Δ ‖ ἡ om A ‖ τοῦ (τὸ A) μὴ ὁμ. δὲ Δ ‖ 20 οὔτε τὸ λευκὸν οὔτε τὸ μ. Δ ‖ 21 πολλὴν om Δ ‖ 22 συνανασπῶ....., καθ. Δ συνανασπῶσι δὲ θερμότητα ci. Bussem. Fort. τὸ θερμόν ‖ γὰρ U om libri ‖ ὑπὸ U ἀπὸ libri ‖ 23 μέλαιναι προσμένουσι P ‖ 24 εἰς — τόπον P: κάτω Δ ‖ ὑπὸ τοῦ ὄντος — θερμοῦ U ὄντος — θερμοῦ ὑπὸ τοῦ P ὄντος — θερμοῦ ὑπὸ τούτου Δ ‖ 25 ἀνάγων Δ ‖ πολιοῦται Δ ‖ 26 οὕτω Δ ‖ 27 διὰ U om libri ‖ οὔτ' ἂν A ‖ μή: κύῃ P ‖ δυνῶνται P ‖ fort. τραφῆναι

p. 19, 1 οὖσαι κεκηρωμέναι P ‖ 2 ὅταν ἐξέλκωσι incl. U ὅθεν ἐξέλκουσαι Δ

Universitäts- und
Landesbibliothek Düsseldorf

καίνονται. αἱ γὰρ τρίχες πολλαὶ οὖσαι καὶ κειρόμεναι προσέλκουσιν εἰς αὑτὰς τροφήν· ὅταν δὲ
μὴ ἕλκωσιν [ὅταν ἐξέλκωσι] τὴν ξηράν, καὶ τὴν ὑγρὰν ἀνέλκωσι, λευκαίνονται. ἡ δ' ἥβη καὶ
αἱ μασχάλαι βραχείας ἔχουσαι τῇ φύσει καὶ ἀραιὰς ῥᾳδίως μελαίνονται· συνανασπῶσι γὰρ
καθάπερ προείρηται ἐνι*. ὅ τε περὶ τὰ αἰδοῖα τόπος ἐστὶ τοιοῦτος οἷος τρέφειν ἄριστα· καὶ
γὰρ ἀραιὸς καὶ χαῦνος, ἔτι δὲ τὸ σπέρμα κατὰ τοῦτον τὸν τόπον ἐξέρχεται, ὥστε πολλὴν
εἶναι δεῖ τροφήν. εἰκότως οὖν καὶ ἐν τούτοις τοῖς τόποις ἧττον πολιοῦνται. Διὰ τί ἐν τῇ πβ
κεφαλῇ μάλιστα γίνονται φθεῖρες; Ἢ ὅτι ζῷα μὲν πέφυκε γίνεσθαι, οὗ ἂν περίττωμα ᾖ
ὑγρότητος καὶ θερμότητος, ἔτι δ' ἔχῃ τόπον· ἡ δὲ κεφαλὴ ὑγρὰ καὶ θερμὴ ἡ τῶν νέων, καὶ
οἱ πόροι οἱ ἐν αὐτῇ εὐρύτατοι; σημεῖον δέ· αἱ τρίχες παχύνονται ἐνταῦθα, ὥστε ἔχει καὶ ἐξ
οὗ συσταίη ζῷον καὶ ἐν ᾧ. Διὰ τί ἐκ τῶν πότων καὶ τῶν ἐμέτων καὶ ἐν τοῖς ψύχεσι φθέγ- πγ
γονται βαρύτερον; Ἢ διὰ τὴν ἔμφραξιν τοῦ λάρυγγος °τὴν γινομένην° ὑπὸ τοῦ φλέγματος;
ἐπικατασπᾷ γὰρ ῥευμάτιον τοῖς μὲν ὁ ἔμετος ἢ ὁ πότος, τοῖς δὲ ἡ ὥρα, ὥστε βραδυτέρα ἡ
φορὰ τοῦ πνεύματός ἐστιν· ἡ δὲ βραδεῖα λίαν βαρεῖά ἐστιν. Διὰ τί ποτε ἐγγύθεν τῆς πδ
βαρυτέρας φωνῆς μᾶλλον ἐξακούομεν, πόρρωθεν δὲ ἧττον; Ἢ διότι [καὶ] ἡ βαρυτέρα φωνὴ
πλείω ἀέρα κινεῖ, ἐπ' ἔλαττον δὲ τοῦτο ποιεῖ; πόρρωθεν μὲν οὖν ἧττον ἀκούομεν, διότι ἐπ'
ἔλαττον ἀφικνεῖται· ἐγγύθεν δὲ μᾶλλον, διότι πλείων τοῦ ἀέρος κίνησίς ἐστιν. Διὰ τί ἐν πε
τῷ χειμῶνι ὀξύτερον φθέγγονται, θέρους δὲ καὶ μεθύοντες βαρύτερον; Ἢ ὅτι ὀξυτέρα μέν ἐστιν
ἡ ταχυτέρα ἢ ἀπὸ συντεταμένου φωνή· τῶν δὲ νηφόντων καὶ ἐν τῷ χειμῶνι τὰ σώματα συνέστηκε
μᾶλλον ἢ μεθυόντων καὶ ἐν τῷ θέρει· τὸ γὰρ θερμὸν καὶ αἱ ἀλέαι διαλύουσι τὰ σώματα. Διὰ πς
τί τὰ ἐννεάμηνα οὐ φθέγγεται, τὰ δὲ δεκάμηνα φθέγγεται εὐθὺς γεννώμενα; Ὅτι ὀψιαίτατα τε-
λειοῦται ἡ φωνὴ τοῖς ἀνθρώποις. σημεῖον δέ· ἤδη γὰρ ηὐξημένοι καὶ ψελλίζουσι καὶ τραυλίζουσιν.
°Ἢ° ὅτι τὰ μὲν ἐννεάμηνα τελειόγονα**, ὥστε τὰ μὲν ἀπειληφότα ἤδη γίγνεται τὴν φύσιν, τὰ
δὲ οὔ. τὸ οὖν τελευταῖον ἐπιτελούμενον τοῖς μὲν ἀτελέσιν οὐχ οἷόν τε ὑπάρχειν ὡς ἐπὶ τὸ πολύ,
τοῖς δὲ ἐπιτετελεσμένοις ὑπάρξει. [τὰ δὲ ἑπτάμηνα ἔτι ἧττον διὰ τὴν αὐτὴν αἰτίαν· οὕτω γὰρ
308 ἀτελῆ σφόδρα καὶ ἀσθενῆ γίνεται, ὥστε καὶ σπαργανοῦται ἐρίοις.] Διὰ τί ἡ φωνὴ ὕστατον πζ
τελειοῦται τοῖς ἀνθρώποις τῶν φθεγγομένων; Ἢ διότι πλείστας ἔχει διαφορὰς καὶ εἴδη, τὰ

2 καὶ ante τὴν P: ἢ Δ ‖ ἀνέλκουσαι Δ ‖ 3 ἔχουσι A ‖ συνανασπῶσί τε γὰρ Δ ‖ 4 ἐνι* (cf. p. 18, 22). ὅ τε U ἐνίοτε libri Ἔτι ὁ ci. Buss. ‖ 5 τρόπον A ‖ ὥστε — 6 τροφήν om Δ ‖ 7 f. μάλ. τῶν νέων ‖ φθεῖραι O ‖ ζῶσι O ‖ γίνεσθαι om B ‖ 8 ὑγρότης κ. θερμότης B ὑγρότατον κ. θερμότατον Δ sc A ‖ ἔχῃ Buss. om B ἔχει ceteri ‖ 9 πόροι ἐν AMO ‖ οἱ τρ. A ‖ ἔχει om A ‖ 10 ζώου O ‖ ποτῶν M ‖ ἐν om BM ‖ τῷ ψύχει Δ sc A ‖ 11 ἔκφριξιν APR ἔκφυξιν M ‖ φάρυγγος Ar. probl. xi 18 ‖ τὴν γινομένην U ex Ar. om libri ‖ 12 ἢ ὁ πόνος U ex Ar. ἢ τὸ ποτὸν BrΔ ἢ τὸν τόπον M ἐπὶ ποτὸν B ‖ βραδυτέρα U ex Arist. βαρυτέρα libri ‖ 13 ῥεύματος P ‖ βραδεῖα U βαρεῖα libri ‖ λίαν καὶ O καὶ λεία B ‖ βαρεῖα U βραδεῖα libri ‖ 14 καὶ redundare uidit Buss. om Bodl. 131 et Ar. pr. xi 19 ‖ ἡ om AS(O) ‖ 15 διὸ BrM Bodl. ‖ 16 ἐλ. κινεῖται Ar. ‖ δὲ: μὲν A ‖ πλεῖον A ‖ 16. 17 τοῦ μὲν χειμῶνος Ar. pr. xi 56 ‖ 17 ὀξύτερα P ‖ φθ. καὶ νήφοντες Arist. ‖ μεθ. καὶ βαρ. A ‖ ἢ ὅτι Modenensis 144 διότι P ὅτι ΔS ‖ 18 ἢ (ἡ AM?) παχυτέρα AMPS ‖ ταχ. φωνὴ ἢ ἀπὸ σ. Moden. ‖ ἡ ἀπὸ συντεταγμένων A ‖ 19 μᾶλλον Buss. ex Ar. μάλιστα libri ‖ *Cur septimestris — nouimestris uero (infans)* V ‖ 20 φθέγγονται A ‖ δὲ om A ‖ γενόμενα B γεννηθέντα A γεννηθέντα Buss. ‖ αἰψιώτατα A ‖ 21 γὰρ om B ‖ ψιλλίζουσι O ‖ ἢ Buss. *aut* V om libri ‖ 22 οὐ ante τελειόγ. interposuit Buss. ego tutius duxi hiatus signa ponere, quo loco praeter oppositum membrum poterat si scriptoris inscitiae lubebat οὐκ ἔστι extare ‖ Corr. γίγν. τὴν φωνήν ‖ 24 fort. ἀποτετελ. ‖ 24 τὰ — 25 inclusi, cum ea ad u. 22 olim adscripta fuisse (ex Ar. h. a. vii 4 p. 584ᵇ 3) nominatiuus casus doceat ‖ ἔτι ἧττον ci. Bussem. ἐστὶν ἧττονα libri ‖ διὰ — αἰτίαν om Δ ‖ 25 ἔριον P ‖ 26 τοῖς φθεγγομένοις τῶν ἀνθρώπων S

δ' ἄλλα ζῷα ἢ οὐδὲν γράμμα ἢ ὀλίγα διαλέγεται· τὸ δὲ ποικιλώτατον καὶ πλείστας ἔχον δια-
πη φορὰς ἀνάγκη οὖν ἐν πλείστῳ χρόνῳ ἀποτελεῖσθαι; Διὰ τί οὐ τῇ αὐτῇ φωνῇ πάντες δια-
λέγονται; Ἢ ὅτι πρῶτον ἀπὸ τῆς μιμήσεως τῶν ἀλόγων αἱ φωναὶ εὑρέθησαν, οἷον τὰ παιδία
τὸν βοῦν ἀπὸ τοῦ μυκᾶσθαι καὶ τὸν κύνα ἀπὸ τοῦ ὑλακτεῖν; ἔχοντος δὲ τοῦ αὐτοῦ ζῴου
πολλὰς μιμήσεις, ἀφ' ὧν ἐκλέξεταί τις τὴν ὁμοίωσιν (καὶ γὰρ αὐτὸ κέρατα ἔχει, καὶ τετρά-
πουν καὶ μακρόν), οὐκ ἐπὶ ταὐτὸν ἕκαστος ὁρμήσας ταὐτὸν μὲν ἐσήμανε τὸν βοῦν, οὐ μὴν τῇ
αὐτῇ φωνῇ· ὁ δὲ τὸ αὐτὸ τῆς πρώτης παραλλαξάσης ἤδη, εἰκότως ἐκ τούτων παραλλάττων
πθ μικρόν, οἷον οἱ μὲν Διόνυσον οἱ δὲ Ζώνυσον, καὶ οἱ μὲν Ἡραγόρην οἱ δ' Ἡραγόραν. Διὰ τί
οἱ μὲν ἀγωνιῶντες βαρὺ φθέγγονται, οἱ δὲ φοβούμενοι ὀξύ; Ἢ ὅτι τοῖς μὲν φοβουμένοις
καταψύχεται ὁ τόπος ὁ περὶ τὴν καρδίαν, κάτω ὁρμῶντος τοῦ θερμοῦ, ὥστε ὀλίγον ἀέρα κι-
νοῦσιν (ἡ γὰρ ἰσχὺς ἐν τῷ θερμῷ)· τοῖς δὲ ἄνω φέρεται τὸ θερμόν, ὥσπερ τοῖς αἰσχυνομέ-
νοις; δι' αἰσχύνης γὰρ ἀγωνιῶσι, τοῖς δὲ αἰσχυνομένοις ἄνω φέρεται πρὸς τὸ πρόσωπον· σημεῖον
δὲ ὅτι ἐξέρυθροι γίνονται μᾶλλον. συντήκει οὖν καὶ παχὺν ποιεῖ τὸν ἀέρα ᾧ φθέγγεται, ὁ δὲ
ϟ τοιοῦτος βραδέως ὠθεῖται, τὸ δὲ βραδὺ ἐν φωνῇ βαρύ ἐστιν. Διὰ τί τῆς φωνῆς ἐπειδὴ
ῥύσις τίς ἐστι φύσιν ἐχούσης ἄνω φέρεσθαι, μᾶλλόν ἐστιν εὐήκοα τὰ ἄνωθεν κάτω ἢ τὰ κά-
τωθεν ἄνω; Ἢ διότι ἡ φωνὴ ἀήρ τίς ἐστι μεθ' ὑγροῦ; βαρὺς οὖν ὢν οὗτος ὑπὸ τοῦ ὑγροῦ
φέρεται κάτω καὶ οὐκ ἄνω, τοῦ γὰρ ὑγροῦ κατὰ φύσιν ἡ κάτω φορά· διόπερ τοῖς κάτω
μᾶλλον ἀκούεται. ἢ τοῦτο μὲν ἐπὶ τῆς τοῦ ζῴου φωνῆς μόνον γίγνεται (αὕτη γὰρ μεθ' ὑγροῦ),
τὸ °δὲ° συμβαῖνόν ἐστι καὶ ἐπὶ τῶν ἄλλων ψόφων; καθάπερ οὖν ἄποψις ἂν μὲν ἄνωθεν
κάτω προσπέσῃ, τὴν ἀνάκλασιν ἄνω ποιεῖται, κάτωθεν δ' ἄνω προσπεσοῦσα ἀνεκλάσθη κάτω,
τὸν αὐτὸν δὴ τρόπον ἡ φωνὴ φύσιν ἔχουσα ἄνω φέρεσθαι, προσκόψασα τῷ ἐξ ἐναντίας ἀέρι,
βιάζεσθαι μὲν οὐ δύναται πλείονα ὄντα °καὶ° βαρύτερον, ἀνακλασθεὶς δὲ ὁ κινηθεὶς ἀὴρ ἐπὶ
τοὐναντίον ἠνέχθη κάτω, διὸ καταχεόμενος ἀκούεται μᾶλλον κάτω. Τοιοῦτο δὲ καὶ τὸ περὶ
ϟα τὴν ἠχὼ συμβαῖνον· ἔστι γὰρ ἀνάκλασις τῆς φωνῆς ἐπὶ τοὐναντίον. Διὰ τί μεθυόντων
μᾶλλον ἀπορρήγνυται ἡ φωνὴ ἢ νηφόντων; Ἢ διότι τῷ πεπληρῶσθαι ταχέως ἀπορρηγνῦσι τὴν
φωνήν; σημεῖον δὲ τούτου· οὔτε γὰρ οἱ χοροὶ μελετῶσιν ἐξ ἀρίστου οὔθ' οἱ ὑποκριταί, ἀλλὰ
νήστεις ὄντες· ἐν δὲ τῇ μέθῃ πληρέστεροι ὄντες εὐλόγως μᾶλλον ἀπορρήγνυνται τὰς φωνάς.

1 οὐδὲν — ὀλ. V Bussem. ex Arist. pr. xi 57 οὐδὲν γράμμα ὀλ. A οὐδ' ἐν γράμμασιν ὀλ. BrM ‖ 2 οὖν om Arist. Bussem. ‖ διατελεῖσθαι MS ‖ πάντα O Modenensis 144 ‖ 3 τῆς om Δ ‖ 4 μηκᾶσθαι Δ ‖ κῦνα S ‖ 5.6 γὰρ τὸ αὐτὸ καὶ τετράπουν ἐστὶ κ. μ. καὶ κέρατα ἔχει Mod. ‖ 5 κέρατ' O ‖ 6 μακρὸν — 7 παραλλάττων om A ‖ 6 ἕκαστον MS(OP) ‖ ἐσήμαινε Δ ‖ 7 f. δὲ κατὰ τὸ ‖ παραλλαξάσης (παραλλάξας ci. Bussem.). Ἤδη Δ ‖ εἴδη P ‖ παραλλάττον Δ παρήλλαττον ci. Bussem. ‖ 8 δὲ om O ‖ Ζόνυσον S ὑζόνυσον Moden. ‖ μὲν κραγόρην S Moden. μὲν ἡραγώραν P ‖ δ' ἡρωγωρᾶν P ‖ 8 — 14 non exscripsit Br ut quae ex Arist. pr. xi 32 ad uerbum repetita essent ‖ 13 ᾧ Bussem. ex Arist. ὡς BM ὃς A ‖ φθέγγονται Ar. sed φθέγγεται ibidem Yᵃ ‖ 14 βαρὺ om B ‖ 15 εὐήκοος ἄν. κ. ἢ κάτ. Arist. pr. xi 45 ‖ 16 ὅτι Arist. ‖ βαρυνόμενος οὖν Arist. ‖ 17 φένεται A ‖ διότι Δ διὸ Arist. ‖ 18 αὕτη Bussem. ex Arist. αὐτὴ MOP αὐτῇ ASV ‖ 19 δὲ Bussem. ex Arist. om libri ‖ καὶ: non V ‖ ἡ ὄψις Ar. ἄμπωτις Δ (sc A) ‖ 20 ἀνεκλάσθη Bussem. ex Arist. ἀνακλασθῇ ABr ἀνακλύσθη M ‖ 21 δὲ ΔP om Arist. ‖ ἡ φωνὴ ἡ φ. Ar. ‖ φύσιν φέρουσα ὡς ἔχουσα A ‖ 22 μὲν οὖν οὐ O ‖ πλέονα Δ πλεῖον MS (O) ‖ καὶ V Bussem. ex Arist. om libri ‖ 23 διὸ — κάτω om MRSV ‖ καταχεόμενος U ex Arist. κατεχόμενος ΔP ‖ κάτω μᾶλλον Δ (sc A) Arist. ‖ τοιοῦτον Δ ‖ τὸ om A ‖ 24 γὰρ om Arist. ‖ 24 — 27 neglexit Br ut eadem atque Arist. pr. xi 46 ‖ 25 ἀπορρήγνυσι AMV et Arist. libri Cᵃ Xᵃ Yᵃᵘ ἀπορρηγνύασι Bussem. ex Arist. ‖ 26 μελετοῦσιν A ‖ οὐθ' οἱ U conl. Arist. οὐχ Δ ‖ 27 πληρέστερα ὄντα M

Universitäts- und
Landesbibliothek Düsseldorf

309 Διὰ τί ἡ σῦριγξ καὶ ἡ ὀξεῖα φωνὴ ἁπλῶς ὥσπερ ἐρημίαν ποιεῖ φαίνεσθαι; Ἦ ὅτι ἡ ὀξεῖα ϙβ
φωνὴ μακρὰν βαδίζει καὶ οὐκ ἐπὶ πολὺ διαχεῖται, καθάπερ αἱ ἄλλαι φωναί; Διὰ τί ϙγ
ποτε ἡ φωνὴ ὀξυτέρα φαίνεται τοῖς μακρότερον ἀφεστηκόσι, τοῦ ὀξέος ὄντος ἐν τῷ ταχέως
φέρεσθαι, τὸ δὲ μακρότερον βραδύτερον κινεῖται; Ἦ °ὅτι ἡ° ὀξύτης οὐ μόνον ἐστὶν ἐν τῷ
ταχέως κινεῖσθαι, ἀλλὰ καὶ ἐν τῷ ἐλάττω τὸν ψόφον γίνεσθαι, τοῖς δὲ μακρότερον ἀφεστηκόσιν
ἀεὶ ἐλάττων ἡ φωνὴ ἀφικνεῖται διὰ τὴν ὀλιγότητα τοῦ ἀέρος τοῦ κινουμένου. Διὰ τί, εἴπερ ϙδ
ἡ φωνὴ ἀήρ τίς ἐστιν ἐσχηματισμένος καὶ φερομένη διαλύεται πολλάκις τὸ σχῆμα, ἡ ἠχὼ
γίνεται πληγέντος τοῦ τοιούτου πρός τι στερεὸν καὶ οὐ διαλύεται ἀλλὰ σαφῶς ἀκούεται; Ἦ
διότι ἀνάκλασις, οὐ κατάκλασίς ἐστι, τοῦτο δὲ ὅλον ἀφ' ὅλου; εἶτα τὸ πάθος ἀφ' ὁμοίου·
ἀπὸ γὰρ τοῦ ἀέρος ἀνακλᾶται τοῦ ἐν τῷ κοίλῳ, οὐκ ἀπὸ τοῦ κοίλου. Διὰ τί χειμῶνος ϙε
ὄντος αἱ φωναὶ βαρύτεραι; Ἦ ὅτι παχύτερος ὁ ἀήρ, παχυτέρου δὲ ὄντος βραδυτέρα ἡ κίνη-
σις, ὥσθ' ἡ φωνὴ βαρυτέρα; Ἦ ὅτι διὰ τῶν στενῶν βραδύτερον χωρεῖ ὁ ἀήρ, συμφράττονται
δὲ τὰ περὶ τὸν φάρυγγα τῇ ποιότητι τοῦ ψυχροῦ καὶ τοῦ ἐπιρρέοντος φλέγματος; Διὰ ϙϛ
τί μεγαλόφωνοι οἱ θερμοὶ τὴν φύσιν ὄντες; Ἦ ὅτι ἀνάγκη καὶ ἀέρα ἐν τούτοις πολὺν °καὶ°
ψυχρὸν εἶναι; ἕλκει γὰρ τὸ πνεῦμα τὸ θερμὸν καὶ ποιεῖ πλείω· ἡ δὲ μεγάλη φωνὴ γίνεται
ἐν τῷ πολὺν ἀέρα κινεῖν, ὀξεῖα δὲ ἐν τῷ ταχέως, βαρεῖα δὲ ἐν τῷ βραδέως. Διὰ τί ἀκού- ϙζ
ουσι μᾶλλον κατέχοντες τὸ πνεῦμα ἢ ἐκπνέοντες (διὸ καὶ ἐν ταῖς θήραις παραγγέλλουσιν ἑαυ-
τοῖς μὴ πνευστιᾶν); Πότερον ὅτι τὸ αἰσθητικὸν ἄνω ἔρχεται τῶν φλεβῶν συναιρουμένων [ἢ
ἀραιουμένων]; καθευδόντων δὲ κάτω, διὸ καὶ μᾶλλον ἐκπνέουσιν. Ἦ καὶ τὸ αἷμα ἀπέρχεται
κάτω καταπεπνευκότων, ὥστε κενοῦται τὰ ἄνω, ἀκούουσι δὲ τῷ κενῷ; Ἦ ὅτι φύσει ὁ ἀσθμὸς
ψόφος τίς ἐστιν, οὗτος δὲ τῷ πνεῖν γινόμενος κωλύει ἀκούειν; Διὰ τί οἱ τοῦ γράσου ὄζοντες ϙη
ὅταν ἀλείψωνται μύρῳ, δυσωδέστεροί εἰσιν; Ἦ διότι ἐπὶ πολλῶν τοῦτο γίνεται °οἷον° ὀξὺ***;
Ἦ διότι πάλιν ἱδρώσαντες δυσωδέστεροί εἰσι· τὸ δὲ μύρον θερμαντικόν ἐστιν, ἱδρῶτας οὖν παρα-
σκευάζει; Διὰ τί ἡ μασχάλη δυσωδεστέρα ἐστὶ τῶν ἄλλων τόπων; Πότερον ὅτι ἀπνού- ϙθ
στατός ἐστιν, ἡ δὲ δυσωδία μάλιστα ἐν τοῖς τοιούτοις διὰ τὸ σῆψιν γίνεσθαι ὑπὸ τῆς ἡσυχίας
310 τῆς ὑγρότητος, διότι ἀκίνητος καὶ ἀγύμναστος; Διὰ τί τὰ δυσώδη ἥκιστα φαίνεται δυσώδη ρ
τοῖς ἐδηδοκόσιν; Ἦ διὰ τὸ συντετρῆσθαι τὴν ὄσφρησιν τῷ στόματι κατὰ τὸν οὐρανὸν πλήρης
ἡ αἴσθησις γίνεται, καὶ τῆς τε °ἔσω° δυσωδίας οὐκέτι ὁμοίως αἰσθάνεται (τὸ γὰρ πρῶτον

1 ἠρεμίαν (γρ. ἐρημίαν mg) A ‖ 2 αἱ: *et* V ‖ pr. ϙγ — ϙδ Br neglexit ut ex Aristoteleis ad uerbum repetita ‖ 3 ποτε om Ar. pr. XI 20 ‖ μακροτέροις alt. m. M; 3 et 5 μακροτέραν Ar. ‖ 3 ἀφεστηκόσιν ἀεὶ ἔλαττον τοῦ A ‖ 4 δὲ μακροτέρω φερόμενον βρ. Ar. ‖ *numquid quod* V Ἡ ὀξύτ. Δ ‖ 5 ἐν τῷ λεπτότατον ψ. Ar. ‖ 6 ἀεὶ λεπτοτέρα ἡ Ar. ‖ 6 — 8 uerborum structura discrepat ab Ar. pr. XI 51 (et 23) ‖ 7 ἐστιν om A ‖ 9 οὐ κατάκλασις om A ‖ εἶτα: εἰς Δ ‖ ἀφ' ὁμοίου: ἀφομοιοῦται ΔV ‖ 10 ἀνακλᾶται καὶ τοῦ AMV καὶ del. Bussem. ‖ τί τοῦ χειμ. αἱ Ar. pr. XI 61 ‖ 11 δὲ om A ‖ 12 ὥσθ' U ex Ar. ὡς Δ ‖ 13 φάρ. ὑπό τε τοῦ ψ. Ar. D ‖ 14 πολὺ A ‖ καὶ U ex Ar. XI 3 om libri ‖ 15 φλέγμα A ‖ θερμὸν πρὸς ἑαυτὸ καὶ πλείω τὸ πλεῖον (sed καὶ ποιεῖ πλείω Y[a]) Ar. ‖ πλείω DMV: πλεῖον Δ sc A ‖ 16 ὀξεῖαν AM ‖ βαρεῖαν AM βραδεῖα D ‖ 17 καὶ V et Arist. pr. XI 41: ἡ A om Δ sc M ‖ 18 *ne spirent* V οὐ πν. Δ ‖ ἢ om A et Arist. cod. Y[a] quare ἢ ἀραι. inclusi ut dittographiam ‖ 19 διὸ — 20 κάτω om M ‖ 19 ἔκπνευσιν A ‖ 20 f. καταπεπωκότων τὸ πνεῦμα? ‖ ὁ ἄσθμός AM et Ar. codex Y[a] ὁ ἀτμὸς Bussem. an τὸ ἆσθμα? ‖ 22 ἀλείφωνται Ar. pr. XIII 9 ‖ 22 ἐπιπολῶν A ‖ γίν. οἷον ὀξὺ καὶ γλυκὺ συμμιχθὲν τὸ ὅλον γλυκύτερον ἐγένετο; Ar. ‖ 24 δυσωδεστάτη DMV ‖ 26 ἢ διότι Ar. pr. XIII 8 ‖ 27 ἢ ὅτι διὰ ci. Bussem. ‖ ἔσω U ex Ar. probl. XIII 2 om libri

Universitäts- und
Landesbibliothek Düsseldorf

αἰσθάνονται πάντες, ὅταν δὲ ἄψηται, οὐκέτι, ὥσπερ συμφυοῦς) καὶ ἡ ἔξωθεν ὁμοία ἀφανίζεται
ρα ὑπὸ τῆς ἔσω. Διὰ τί χειμῶνος ὄντος ἧττον ὀσφραινόμεθα καὶ ἐν τοῖς πάγοις; Ἢ ὅτι ὁ ἀὴρ
ἀκινητότερος ἐν τῷ ψύχει; Οὐκοῦν οὐκ ἀφικνεῖται ἡ κίνησις ἡ ἀπὸ °τοῦ σώματος τοῦ τὴν°
ρβ ὀσμὴν ἔχοντος διὰ τὴν δυσκινησίαν; Διὰ τί αἱ κύνες οὐκ ὀσφραίνονται τῶν ἰχνῶν ὅταν
ἀποθάνῃ δασύπους, οὐδ' ἂν λάθῃ αὐτὰς ὁ τεθνεώς, οὐκέτι ὁμοίως εὑρίσκουσιν; Ἢ ὅτι τεθνε-
ῶτος μὲν οὐκ αἰσθάνονται διὰ τὸ ἄλλην ὀσμὴν γίνεσθαι, τὴν δ' οἰκείαν διαφθείρεσθαι, πάντων
φθειρομένων, ὥσπερ φωνὴν καὶ χρῶμα καὶ χυμόν; πάντα γὰρ μεταβάλλεται ταῦτα. ζῶντος
μὲν οὖν διὰ τὸ συνεχῆ εἶναι τὴν ὀσμὴν ἀπὸ τοῦ θηρίου αἰσθάνονται· τεθνεῶτος δὲ πέπαυται
ῥέουσα· οὐ γὰρ καταλείπει, ὥσπερ Ἐμπεδοκλῆς, ὡς '... ἀπέλειπε ποδῶν ἁπαλὴν περὶ
ποίην'· οὐχ οἷόν τε γὰρ διασεσῶσθαι τὴν ὀσμὴν οὐδὲ τὴν χρόαν, ἀλλ' ὅταν ἀποθάνῃ, κἀκεῖνα
ργ καὶ αὕτη ἔφθαρται. Διὰ τί αἱ ὀδμαὶ ἐγγύθεν ἧττον εὐώδεις καὶ θυμιαμάτων καὶ ἀνθῶν;
Ἢ ὅτι τοῖς πλησίον συναναφέρεται τὸ γεῶδες, ὥστε κεραννύμενον ἀσθενῆ ποιεῖ τὴν δύναμιν· εἰ
δὲ πόρρω, καταφέρεται ὀδμή; διὰ τοῦτο δὲ καὶ τριφθέντα τὰ ἄνθη ἀπόλλυσι τὴν ὀσμήν. Ἢ
ὅτι ἡ ὀσμὴ θερμότης τίς ἐστι καὶ τὰ εὐώδη θερμά, τὸ δὲ θερμὸν κοῦφον, ὥστε διὰ τοῦτο πορρω-
ρδ τέρω γίνεται ἡ ὀσμή; Διὰ τί πάντα μᾶλλον ὄζει κινούμενα; Ἢ ὅτι ἀναπίμπλησι τὸν ἀέρα,
ρε διόπερ ἀναπέμπεται θᾶττον πρὸς τὴν αἴσθησιν; Διὰ τί ἐνίοτε ναυτιάσαντές πως μᾶλλον
πεινῶσιν; εἰκὸς γὰρ ἦν ἐναντίως ἔχειν· πλήρωσις γὰρ ἡ ναυτία ἐστίν. Ἢ ὥσπερ ἀφόδου
γενομένης συμβαίνει γενέσθαι τοὺς τόπους κενοὺς οἷς πεινῶσι· πρὶν δὲ ναυτιάσαι τούτους
ρς ἐπλήρουν; Διὰ τί ἐν μὲν τοῖς πλοίοις ἡ ναυτία χολώδης· ἣν δ' ἄλλως, φλεγματώδης;
Ἢ διότι ἐν μὲν τοῖς ἄλλοις ἔμπονος, ἐνταῦθα δὲ μετὰ φόβου ἢ ταραχῆς· ὁ δὲ φόβος συγκι-
νητικὸς τῶν συμφύτων; τὸ μὲν οὖν φλέγμα ἐπιπολάζον καὶ ἀλλότριον, ἡ δὲ χολὴ σύμφυτον
ρζ γιγνόμενον ἐκ συμφύτου. Διὰ τί ἐν ταῖς φαρμακοποσίαις σημεῖον ὅταν ἀριθμεῖν δύνηται
τὰς δοκούς, ὅτι κεκάθαρται; Ἢ ὅτι οὐκ ἔνεστι περιττωματικὴ ὑγρότης; ἐποίει γὰρ τὸν ἴλιγγον 311
ὥσπερ τοῖς μεθύουσι· τὸ γὰρ αὐτὸ σημεῖον τοῦτο καὶ τοῖς μεθύουσιν ἤδη ἐστὶ τοῖς μὲν γιγνό-
ρη μενον, τοῖς δὲ μὴ γιγνόμενον. Διὰ τί ὑπέρινοι μᾶλλον γίνονται κάτω ἢ ἄνω καθαρθέντες;
Ἢ διότι εὐροωτέρα ἡ κάτω ὁδός, ἡ δ' ἄνω παρὰ φύσιν, ὥστε καὶ ἀπ' ἐλάττονος φαρμάκου

1 ἄψωνται Ar. ‖ συμφυοῦς Buss. ex Ar. συμφυοῦσα A συμφύουσα BrM ‖ ὁμοίως S ‖ 2 ἔντος om O ‖ ὀσφραινόμεθα ἧττον Δ ‖ ἢ et ὁ om O ‖ 2|3 ἀὴρ κινεῖται ουρον ἐν A ‖ 3 ψύχειν A ‖ ἐφικνεῖται Br ‖ ἡ ἀπὸ — ἔχοντος U ex Ar. pr. XII 6 ἡ ἀποσμὴν ἔχοντες libri ‖ 4 δυσκιν. τῆς ἀποῤῥοῆς καὶ τοῦ ἀέρος ἐν ᾧ ἐστιν. Arist. ‖ οἱ κύνες Δ ‖ αἰσθάνονται M ‖ ἰσχνῶν Modenensis 144 ‖ 5 αὐτοὺς ΔP αὐτοῖς M ‖ ὁ incl. Buss. ‖ 5. 6 τεθνεῶτος Buss. τεθνεῶτας BrModen. τεθνεόταις A τεθνεότες M ‖ 7 φωνῆς καὶ χρώματος καὶ χυμοῦ ci. Buss. ‖ 8 συνεχῆ: συνενεχθῆναι S ‖ εἶναι om Δ ‖ ὀσμὴν ci. Buss. νόσον libri ‖ 9 οὐ γὰρ καταλείπει om Δ ‖ nonne intercidit φησίν? ‖ ὡς: ὃς AM; num uox Empedoclea latet? ‖ ἀπέλιπε AMS ‖ ἁπαλὴν — 10 ποίην U ἀπαλὴ (ἀπειλὴ Moden. ἀπειλὴ P) περιποιῖα (περιποία AM) libri ἀπ. περίπνοια Bussem. ‖ 10 διασεσῶσθαι U διασπᾶσθαι libri ‖ κἀκείνη ci. Buss. ‖ 11 αὐτὴ MBrModen. ‖ 12 καὶ ῥανύμενον A ‖ ποιεῖν M ‖ 12. 13 εἰς δὲ τὸ πόρρω κατ. ἡ ὀδμή Ar. probl. XII 9 ‖ 13 καταφαίνεται MSV ‖ f. ἡ ὀδμή; ‖ alt. δὲ om BrV ‖ τὰ om O ‖ 14 τίς U ex Ar. XII 4 *quaedam* V om libri ‖ ὥστε — 15 ὀσμή: misere decurtata uides quae extant in Ar. pr. s. ‖ 14 πόρρωθεν BrV ‖ 15 f. ἀμιγεστέρα γίνεται ex Ar. ‖ ἡ om A ‖ ἀναπίπλησι M ‖ 16 διότι ΔP ‖ πως om M ‖ 17 ἦν om O ἦν δεῖ A ‖ ἔχῃ A ‖ πλήρωσι A an πληρώσει? ‖ γὰρ ἡ: καὶ ἡ alt. m. A ‖ ναυτίασις BrM ‖ ἀφ' ὁδοῦ S ἀφίδου A ἐφόδου P ‖ 18 γενομένοις A ‖ 18. 19 τούτους ἐκπλήρουν M τοὐναντίως Δ sc A ‖ 20 ἐμπόνως A ‖ ἢ: καὶ SV ‖ 22 γινόμενον M γενόμενον Δ (sc A) V ‖ συμφύτων S ‖ φαρμακοποιίαις O ‖ ἀριθμεῖς A ‖ 23 τοὺς δ. O ‖ ὅτι: ὅ O ‖ fort. γὰρ αὕτη τὸν ‖ 24 τὸ γὰρ — μεθύουσιν om Δ ‖ 24 τοῦτο P: τούτοις O ‖ ἤδη OP: ἠδ' ἡ A ἡ δ' Buss. ‖ 25 γίνονται μᾶλλον P ‖ 26 ἢ ὅτι O ‖ κάτω ὁδός U κάτω M ὁδὸς BrΔV

Universitäts- und
Landesbibliothek Düsseldorf

δυνάμεως ἔλαττον καὶ πλεῖον κινεῖσθαι, καὶ κατὰ φύσιν ἢ παρὰ φύσιν; Ἢ ὅτι τὰ μὲν πε-
ριττώματα °ἃ° ἐν τῇ κάτω καθάρσει ἐκκρίνεται ἐστὶ τῶν χρησίμων καὶ ἐχόντων τῷ σώματι
ἀπόλαυσιν, τὰ δὲ ἄνω ἀλλότρια; ἔνθα μὲν γὰρ τῆς τροφῆς πλείονα λείψανα τὰ οὔπω ἐξι-
κμασμένα ἀλλ' ἔτι ἔχοντα τροφήν, ἔνθα δὲ χολὴ καὶ φλέγμα ἄτροφα. ἡ μὲν οὖν κάτω
κάθαρσις τὴν τροφὴν ἀφαιρουμένη εὐλόγως ἐκλύει, ἡ δ' ἄνω ἢ οὐδὲν ἢ ἧττον. δηλοῖ δὲ ὁ
ἐλλέβορος· ἄνω τε γὰρ καθαίρει καὶ εὐθὺς εὐθετεῖ τὰ σώματα, ὡς οὐδενὸς τῶν χρησίμων
ἀφαιρουμένου ἐν τῇ ἄνω καθάρσει. Διὰ τί οἱ μέλανες καὶ οἱ λεῖοι μᾶλλον ἢ οἱ λευκοὶ ρθ
καὶ οἱ δασεῖς γίνονται ὑπέρινοι; Ἢ ὅτι ὑγρότεροί τε οἱ λεῖοι τῶν δασέων (δηλοῖ δὲ ἡ τῶν γυ-
ναικῶν φύσις ὑγρὰ καὶ λεία οὖσα) καὶ οἱ μέλανες τῶν λευκῶν ψυχρότεροι (τὸ δὲ ψυχρὸν τοῦ
ὑγροῦ ἐγγύς· τὸ γὰρ θερμὸν ξηρόν)· ὑπέρινοι δὲ γίνονται συντηκομένου τοῦ σώματος, ἀλλ'
οὐ μόνον ἀφαιρουμένου τοῦ περιττώματος. Διὰ τί μέλαιναν μὲν χολὴν καθαιρόμενοι καὶ ρι
φλέγμα πολὺ οὐ γίνονται ὑπέρινοι, τὴν δὲ ξανθὴν χολὴν πολὺ ἐλάττω καθαρθέντες; Ἢ ὅτι
τὴν μέλαιναν μὲν χολὴν εἰώθασι καθαίρεσθαι ῥᾳδίως οἱ πολλοί, καὶ μὴ τὴν τρυγώδη, °διὰ τὸ°
κεχωρίσθαι ἤδη τοῦ σώματος (διὸ καὶ μεμέλανται); οὐδεμία οὖν ἰσχὺς ἀφῄρηται τοῦ σώ-
ματος καθαρθέντος. τὸ δὲ φλέγμα περίττωμά ἐστιν, ὥστε ὅσῳ ἂν τις ἀφέλῃ μεῖζον, κουφίζει
μᾶλλον ὥσπερ ἐπικειμένου βάρους. ἡ δὲ ξανθὴ ἐκ συστήματός ἐστι τῆς κακῶς ᾠκοδομημένης
σαρκὸς καὶ οὐ προϋπάρχουσα οὐδὲ κεχωρισμένη πρότερον ἡ πολλή, ὥστε οὐδὲν διαφέρει πολ-
λὴν ἀφελεῖν χολὴν ἢ σάρκας πολλὰς ἢ αἷμα· τούτου δὲ συμβαίνοντος ἀνάγκη γίνεσθαι ὑπε-
ρίνους· μέχρι μὲν γὰρ τούτου ῥεῖν ἐνδέχεται, ἕως ἂν ἔχῃ αἷμα καὶ σάρκας ὡς εἰπεῖν, θάτερα
δὲ ἔχει πέρας διὰ τὸ κεχωρίσθαι. Διὰ τί λυγγιῶσι καὶ ὑπερκαθαιρόμενοι καὶ ὑπερπληρού- ρια
μενοι; Ἢ ὅτι δι' ἀμφότερα καταψύχονται; ἥ τε γὰρ ὑπερκάθαρσις ἀφελοῦσα τὸ ὑπέκκαυμα
ψύχει, καὶ ἐὰν πλείων εἰσέλθῃ τροφὴ τῆς δυνάμεως, μαραίνει τὴν οἰκείαν θερμότητα· ὁ δὲ
λυγμός ἐστιν ὅταν πνεῦμα ἐναπολαμβάνηται διὰ τὸ ψυχθῆναι τὸ ὑγρὸν ἐν τῷ πνευματικῷ
τόπῳ. Διὰ τί τὰ παιδία καὶ οἱ γέροντες μάλιστα ἁλίσκονται διαρροίαις ἐναντίας ἔχοντες ριβ
312 τροφάς; Ἐπειδὴ τὰ μὲν παιδία εἰ καὶ μὴ διὰ τὴν τροφὴν τοῦτο πάσχουσιν, ἀλλὰ διότι ὑγρὰ
τὰ σώματα αὐτῶν ἐστι καὶ πυκνά, ὥστε εἴσω τὰ περιττώματα συρρέοντα διὰ τὴν τῶν σαρκῶν
πυκνότητα ὑγραίνει τὰς κοιλίας, οἱ δὲ γέροντες ψυχρὰ τὰ σώματα ἔχουσι καὶ τὰς κοιλίας·
ὥστε τὰ μὲν δι' ὑγρότητα τῶν σωμάτων καὶ πυκνότητα, οἱ δὲ διὰ ψυχρότητα πάσχουσι τοῦτο
καὶ τὰ μὲν διὰ τὸ ἀναπνεῖν ἔξω τὰ περιττώματα, οἱ δὲ διὰ τὸ μανὰ τὰ σώματα ἔχειν καὶ
τὸ θερμὸν ἀποπνέον ἐξ αὐτῶν ἐξατμίζειν· τὸ αὐτὸ οὖν οὐ διὰ τὸ αὐτὸ πάσχουσι. συναίτιον

1 ἔλαττον καὶ uereor ne sana non sint; an mentionem scriptor fecerat ἐλατηρίου? cf. Ar. pr. ι 41. Theophr. h. pl. ιx 14, 2 ‖ κιν. τὰ κατὰ S καὶ om V ‖ ἢ om AMP ‖ 2 ἃ U om libri ‖ ἐκκρίνεται transposuit U post 3 ἀπόλαυσιν collocant libri ‖ εἰσὶ M ‖ 3 ἀπόλ. καὶ ἐκκρίνεται S(O) ‖ 4 f. ἄτρ. ὄντα ‖ ἄνω pr M ‖ 5 δὲ P δ' Δ: καὶ S δὲ καὶ MO ‖ 6 εὐθετεῖ U *confirmat* V ἔτι BrΔ om M ἰσχύει ci. Buss. cf. pr. 117 ‖ 7 ἀφῃρημένου Δ (sc M) V ‖ 8 οἱ ante δασ. om Δ ‖ τε om Δ sc A ‖ 9 μέλανοι A ‖ 10 δὲ γίνονται om A ‖ 11 ἀφαιρούμενον A ‖ μέλαινα A ‖ 13 μὲν μέλαιναν Δ μὲν om O ‖ οἱ πολλοί om Δ ‖ μὴ redundare censet Buss. *quod faeculentum quiddam sit atque etiam a corpore seclusum* V ‖ διὰ τὸ U τῷ Buss. om libri ‖ 14 ἤδη κεχωρ. Δ ‖ 15 ὅσῳ (ὅσον Buss.) ἂν U *quo* V ὅταν S(O) ἂν ΔP ‖ 16 συνθήματος P ‖ κακῆς M ‖ 17 οὐ om O ‖ πότερον AMO ‖ ἢ πολλή Br *admodum* V ‖ 18 ἀφαιρεῖν O ‖ 19 ἔχῃ om A ‖ 20 λυγγιῶσι U λυγγῶσι S Buss. λυγκῶσι O λυττῶσι AM λύττωσι PR ‖ λυγγῶσιν οἱ ὑπερκαθ. S λυττῶσιν ὑπερκαθαιρούμενοι A ‖ 21 ἢ διότι ἀμφότεροι S ‖ δι' om M ‖ 23 τῷ om S ‖ 24 ἁλίσκονται om A ‖ 24. 25 ἔχοντες τὰς τρ. S ‖ 25 μὲν om MS ‖ 27 οἱ δὲ — κοιλίας om P ‖ 28 πάσχουσι τοῦτο καὶ UV πάσχουσι· τοῦτο δὲ καὶ libri ‖ 29 μανὰ U μόνα libri *firma* (ἔμμονα?) V ‖ 30 ἀποπνέοντα ἀπ' αὐτῶν ἐξ αὐτῶν A

Universitäts- und
Landesbibliothek Düsseldorf

δὲ τοῖς παιδίοις ἐστὶ καὶ τὸ τὴν τροφὴν ποσὴν καὶ ποιάν τινα εἶναι· πολλά τε γὰρ προσφέρονται
καὶ γλυκέα καὶ παντοδαπά· τὰ μὲν γὰρ καὶ νέα παντελῶς γάλακτι τρέφεται ὅ ἐστι δύσπε-
πτον, τὰ δὲ μικρὸν ἐπηυξημένα ποικίλοις καὶ γλυκέσι χρῆται ἐδέσμασι τροφῶν καὶ μητέρων
ριγ πρὸς χάριν ὁμιλουσῶν αὐτοῖς· τὰ δὲ τοιαῦτα δυσδιαχώρητά ἐστιν. Διὰ τί καὶ τὸ πολὺ
ποτὸν ἐνίοτε καὶ τὸ ὀλίγον τὰς διαρροίας ἴσχει; Ἢ διότι τὸ μὲν διὰ τὸ καταξηραίνειν εἰκότως
ἅτε μικρὸν ὄν, τὸ δὲ διὰ τὸ πλῆθος εἰς τὴν οὐρήθραν χωροῦν συνεπισπᾶται καὶ τὸ ἐκ τῆς κοι-
λίας ὑγρόν; ἅμα γὰρ κατ' ἄμφω οὐκ εἴωθεν ὑποχωρεῖν, ἀλλ' ἐὰν μὲν ἡ κοιλία ὑποχωρῇ,
μᾶλλον ἡ οὐρήθρα ἀποξηραίνεται· ἐὰν δὲ ἡ οὔρησις πολλὴ γίνεται, ἡ κοιλία καταξηραίνεται·
ριδ οἷον ἄπαρσιν γὰρ ἐποίησεν ἐκ τῆς κοιλίας εἰς τὴν οὐρήθραν τὸ πολὺ ποτόν. Διὰ τί οἱ πί-
νοντες εὐτραφεῖς ὄντες ὑγρὰς τὰς κοιλίας ἔχουσι μᾶλλον ἢ σκληράς, διὸ καὶ διαρροίαις ἀπο-
θνήσκουσι μᾶλλον τῶν τεθραμμένων, ἔδει δ' εὐτρόφους ὄντας ἐκλαμβάνειν μᾶλλον τὸ τρόφιμον,
τούτου δὲ γινομένου ξηραίνεσθαι τὰς κοιλίας αὐτοῖς; Ἢ ὅτι τὸ εὐτραφές ἐστιν οὐκ ἐν τῷ πολὺ
λαμβάνειν, σκληρὰ δὲ ἡ περίττωσις γίνεται, ὅταν μόλις καταβαίνῃ τὰ προσενεχθέντα εἰς τὴν
κοιλίαν, τοῦτο δὲ γίνεται διὰ τὸ μὴ ταχὺ ἀπολαύειν τὸ σῶμα καὶ μὴ ἐκκρίνεσθαι τὸ χρήσι-
μον ἐξ αὐτῶν καὶ διὰ τὸ ἐν τῇ κάτω κοιλίᾳ μένειν πολὺν χρόνον ἅτε μὴ ἀθρόα καταβαίνοντα
(συγκαίεται γὰρ μᾶλλον)· οὐχ αἱ μάλιστα δὲ ξηρὰ ἀποδιδοῦσαι κοιλίαι εὔτροφοί εἰσιν,
ἀλλ' αἱ ταχὺ λαμβάνουσαι τὸ χρήσιμον ἐκ τῶν προσενεχθέντων. σημεῖον δὲ τὸ τοὺς ξηροὺς
ριε τὰς κοιλίας ἰσχνοτέρους εἶναι ἢ εὐσαρκοτέρους. Διὰ τί οἱ γλυκεῖς καὶ οἱ ἁλμυροὶ τῶν
χυμῶν διαχωρητικώτατοί εἰσιν; Ἢ ὅτι ταρακτικώτατοι, τοιαῦτα δέ ἐστι τὰ ἄπεπτα καὶ βα-
ρέα; διὰ γὰρ τὸ μήτε κρατεῖσθαι ὑπὸ τῆς ἐν ἡμῖν θερμότητος κάτω τε φέρεσθαι τὸ μέλλον
ἐκταράξειν· ἡ γὰρ ἐκτάραξις τοῦτ' ἐστίν. Ἢ ὅτι οἱ μὲν ἄλλοι χυμοὶ ἔξω τοῦ ἐλαίου εὐδια-
φόρητοι καὶ εὔσηπτοί εἰσι, τὸ δ' ἔλαιον ἄπεπτον μέν (ἄσηπτον γάρ), ἀλλὰ διὰ κουφότητα
ἄνω ἐπιπολάζει, διὸ οὐ διαχωρητικόν ἐστιν· τὸ δ' ἁλμυρὸν βαρὺ καὶ παχύ, τὰ δὲ τοιαῦτα 313
ρις μάλιστα φέρεται κάτω καὶ ἄσηπτά ἐστι; Διὰ τί ἡ μὲν ἅλμη καὶ ὁ ὀρρὸς τὴν κοιλίαν
λύουσιν, ὁ δὲ οἶνος πολὺς πινόμενος οὔ; Ἢ ὅτι τῶν μὲν ἡ ὑπόστασις εἰς κοιλίαν ἔρχεται; οὐ
γὰρ εὔπεπτά ἐστιν ὥσπερ ὁ οἶνος θερμὸς ὤν, ὁ δὲ οἶνος ταχὺ πεφθεὶς διουρεῖται. τοῦ μὲν οὖν
ἡ ὑπερβολὴ τὴν κύστιν ταὐτὸν ποιεῖ ὅπερ ἐκεῖνα τὴν κοιλίαν, ἀλλ' οὐκ ἄγει ὑπόστασιν εἰς
κύστιν, οὐ γὰρ ἔχει· τὰ δὲ μετὰ περιττωμάτων ἐξέρχεται ἑπομένων τῇ ὑποστάσει αὐτῶν
ριζ οὔσῃ παχείᾳ καὶ ποιεῖ τὴν διάρροιαν. Διὰ τί ἐν τῇ κάτω καθάρσει ἢ ἐν τῇ ἄνω ὑπέρινοι

1 ποσήν τινα καὶ S ‖ προφέρονται BrV ‖ 2 καὶ ante νέα om ΔV ‖ 3 σμικρὸν Δ sc A ‖ ἐπηυξυμένα Δ ‖ ποικίλως Δ ‖ χρῆται καὶ δέσμασι A ‖ 4 ὁμιλούντων A ‖ καὶ post τί om ΔSV ‖ 5 ἔχει O ‖ 6 ὂν om MS(O) ‖ καὶ om Δ sc A ‖ 7 αἷμα AM ‖ ὑποχωρί A ‖ μὲν om BrV ‖ 7. 8 ὑποχωρεῖ μᾶλλον, Δ ‖ 9 ἄπαρσιν U ἄπασιν AM ἄπασι Br *exinanitionem* V ἄπωσιν Bussem. ‖ τὴν: *multam* V ‖ 10 σκληρᾶς O ‖ διότι P ‖ καὶ om MSV ‖ 11 *magis quam qui parum cibi sumpserint* V ‖ 12 οὐκ inclusit Buss. ‖ 14 ταχὺν ἀπολαβεῖν A *quod non statim corpus excipiat* V ‖ 16 συγκάεται Δ sc A ‖ σκληρὰ MS(O)V ‖ ἀποδοῦσαι M ‖ ἄτροφοι AS ‖ 17 ἀλλὰ ταχὺ ABr ‖ δὲ τόπους ξηροὺς A δὲ τὸ τοὺς ξηρὰς M ‖ 18 ἰσχνοτέρας A pr M ‖ εὐσαρκωτέρους Br εὐσαρκοτέρας alt. m. M ‖ 19 ταρακτώτατοι A πρακτικώτατοι MS(O)V ‖ τοιαῦτα Buss. **αὖτα A εἰ αὐτὰ MS(O) αὐτὰ P ‖ δὲ om M ‖ εἰσὶ Δ sc A ‖ ἐστι τά ἐστι O ‖ 20 τε om MS(O)V ‖ φέρεται V ‖ 21 τοῦτό ἐστι S ‖ 21. 22 εὐδιαφόρητοι ci. Buss. εὐδιάφοροι libri *facile labiles* V ‖ 22 εὔπεπτον M ‖ ἄσηπον M ‖ διὰ τὴν κουφ. M ‖ 23 διαχωρητόν S ‖ 24 κάτω φέρεται Δ ‖ καὶ ἡ ὀρ. M ‖ ἱερὸς Δ ‖ 25 λύουσι Δ ‖ πινόμενος πολὺς O ‖ ὅτι τὸ μὲν ὑπόστ. M ‖ 26 ὁ δὲ οἶνος: ὃς Δ (sc A) V ‖ ταχὺς πεμφθεὶς A ‖ 27 ταὐτὸ ΔO ‖ εἰς: εἰ O ‖ 28 τὰ δὲ περιττώματα M τὰ δὲ om V ‖ 29 ταχείᾳ V ‖ καὶ BrV: om AM ὃ Buss. ‖ ἤ: καὶ A

Universitäts- und
Landesbibliothek Düsseldorf

μᾶλλον γίνονται; Ἦ διότι εἰς μὲν τὴν κάτω κοιλίαν ἐξ ἅπαντος τοῦ σώματος πέφυκε συρρεῖν
τὰ ὑποστήματα (τοῦτο δὲ φανερὸν τῇ τῶν ἐμβρύων τροφῇ· ἐν ἐκείνῳ γὰρ ὄντα τρέφεται τῷ
τόπῳ· ἡ γὰρ ὑστέρα κατ' αὐτὴν ἔχει τὴν χώραν)· εἰς δὲ τὴν ἄνω ἀπὸ τῶν πλησίον χωρῶν
συνέρχεται, ὥστε ἀπ' ἐλάττονος δυνάμεως εὐκινητότερα πάντα εἰς τὸ κάτω διὰ τὸ προϋπάρχειν
εἰσφερόμενα; ἡ μὲν οὖν ἄνω κάθαρσις τὸ ἐπιπολάζον καὶ τὸ ἀλλότριον ἁρπάζει μόνον, διὸ
καὶ ἐλλεβορισθέντες εὐθὺς ἰσχύουσιν· ἡ δὲ κάτω ἐκ πολλοῦ συνάγει τόπου καὶ ἐνίοτε συν-
επισπᾶται καὶ τῶν οἰκείων πολλὰ καὶ τῶν περιττωμάτων εὐταμίευτα, ὥστε συμφέρει πολλάκις
μὴ πάντα ἐκκενῶσαι· γίνεται γὰρ τὰ ὑπολειφθέντα τροφὴ καὶ ἔχει ἰσχύν· ἐὰν δὲ μηδὲν
ὑπολειφθῇ, ὁτὲ μὲν κένωσιν ποιεῖ ἰσχυράν· ὁτὲ δὲ ἀναιροῦνται καθαρθέντες καλῶς, ἐὰν βρα-
δυτέρα γένηται ἡ προσφορὰ τῆς συντήξεως ἐπὶ τὸν ἐπικαιρότατον τόπον. Διὰ τί τοῖς ριη
ὑγιεινοῖς καὶ γέρουσιν αἱ κάτω καθάρσεις οὐ συμφέρουσι (τάχιστα γὰρ ἀπόλλυνται καὶ ὑπέ-
ρινοι γίνονται); Ἦ ὅτι τοῖς μὲν νοσεροῖς περίττωμά ἐστι τὰ ἀπιόντα, τοῖς δὲ ὑγιεινοῖς αὐτῶν
τῶν εὖ ᾠκοδομημένων γίνεται ἡ ἀφαίρεσις, ὥστε σύντηξις, οὐ περίττωσις ἡ ἀπὸ νόσου; ὅταν
οὖν ὁρμήσῃ, μέχρι θεμελίων κινεῖται. Διὰ τί τοῦ θέρους μᾶλλον αἱ διάρροιαι γίνονται ἢ ριθ
τοῦ χειμῶνος, ἔστι δὲ τοῦτο τὸ πάθος ὑγρασίας ὑπερβολή, καὶ ὁ χειμὼν ὑγρότερος, ὥστ' ἔδει
μᾶλλον ἐν τῇ ὁμοίᾳ ὥρᾳ συμβαίνειν τὸ πάθος ἢ ἐν τῇ ξηρᾷ; Ἦ ὅτι ἐν τῷ θέρει ἀντιπερίσταται
τὸ ὑγρόν, ἐν δὲ τῷ χειμῶνι τὸ θερμόν; οἷον γὰρ ἄν τι ᾖ τὸ ἔξω, ἐναντίως ἔχει τὸ ἐντός· διὸ
καὶ τὰ φρέατα τοῦ μὲν θέρους ψυχρὰ ἐν θερμῇ τῇ ὥρᾳ, τοῦ δὲ χειμῶνος θερμὰ ἐν ψυχρᾷ.
τὸ αὐτὸ δὴ καὶ ἡ κοιλία πάσχει, ὥστε ἐν μὲν τῷ χειμῶνι θερμοτέρα οὖσα πέττει ἱκανῶς, ἐν δὲ
τῷ θέρει ψυχροτέρα οὖσα οὐ πέττει ἱκανῶς· ἡ δὲ διάρροια ἀπεψία ἐστίν. συμβάλλεται δέ τι
314 καὶ ἡ τροφὴ τοιαύτη οὖσα ἐν τῷ θέρει οἷα ταρακτική, καὶ αἱ νύκτες ἐλάττους. Διὰ τί ἐν ρκ
τῇ νυκτὶ ἀπ' ἐλάττονος καθαίρει τὰ φάρμακα ἢ ἐν τῇ ἡμέρᾳ; ἡ μὲν γὰρ σκαμμωνία καθαίρει
ἀπ' ὀγδοημορίου, ἐλατήριον δὲ ἀπὸ τεταρτημορίου ὅταν δοθῇ καταπότια. Ἦ διὰ τρία ταῦτα,
δι' ὑγρότητα, διὰ θερμότητα, διὰ τὸ συμμένειν πολὺν χρόνον; ὅτι τε γὰρ οἱ ὑγρότεροι μᾶλλον
καθαίρονται· ὑγρὰ γὰρ ἡ κάθαρσις· τὸ γὰρ περίττωμα *** καὶ ἐν τῷ πλείονι χρόνῳ μᾶλλον
καθαίρει· ἐν δὲ ταῖς νυξὶ συμβαίνει τοῦτο μάλιστα, διότι πέττει ὁ ὕπνος, ὥστε θᾶττον καὶ
μᾶλλον αἰσθάνεσθαι τὸ σῶμα τοῦ φαρμάκου. Διὰ τί τὰ φάρμακα τὰ καθαρτικὰ φλέγμα ρκα
μὲν ἄγει καὶ χολὴν ἐκ τῶν φλεβῶν εἰς τὴν κοιλίαν, αἷμα δ' οὔ, λεπτὸν ὄν; Ἦ ὅτι ἄγει τὸ
ἀλλότριον ὂν διὰ τὸ μὴ προσπεφυκέναι, τὸ δὲ περίττωμα ἀλλότριον; Ἦ ὅτι παχύτερον τὸ
αἷμά ἐστι, τὰ δὲ ἐξελθόντα παχύνεται, τὸ φλέγμα καὶ ἡ χολή; δῆλον δ' ὅτι τὸ αἷμα πα-
χύτερον, ὅταν ψυχθῇ καὶ παγῇ. Διὰ τί τοῖς ἐκ τῶν γυμνασιῶν καὶ φαρμακοποσιῶν οὐκ ρκβ

1 γίνονται om A ‖ 2 τρέφονται Δ sc A ‖ 3 ὑστεραία O *postremas* V ‖ καθ' αὑτὴν M κατὰ ταύτην Δ sc A ‖ πλησίων AM ‖ 4 συνεισέρχεται P ‖ ἐς Δ sc A om V ‖ ὑπάρχειν M ‖ 5 ἡ μὲν — μόνον om S ‖ εἰ μὲν O ‖ ἄνω om AO ‖ 6 ἐλλεβ. Br ‖ ἐκ τοῦ πολλοῦ A ‖ 7 εὐταμίευτα U: ἐνταμιεύεται A οὐ ταμιεύεται BrΔV ‖ ὥστε om ABr ‖ συμφέρει δὲ π. Br ‖ 8 ὑπολιποφθέντα A ‖ μηθὲν Δ sc A ‖ 9 κέν .... ει A ‖ ἐὰν δὲ P(V?) ‖ 10 γίνηται Br ‖ προφορὰ S(P) ‖ συντήξεως Buss. συντάξεως libri et V ‖ 11 ἀπολοῦνται A ‖ 12 ὅτι om Δ ‖ ἀπιόντα U *abeunt* V ὑπιόντα libri ‖ αὐτῶν BrV: αὐτὸ M ἀπὸ Δ ‖ 13 περίττωμα P ‖ 14 τὸ θέρος P ‖ 15 τὸν χειμῶνα P ‖ χειμῶνός ἐστιν, ἔστιν A ‖ ὥστ' ἔδει U (V?) ὥστε ἀεὶ libri ‖ 16 ἔν τε ὁμ. P ‖ συμβαίνει MP ‖ post συμβ. ins. ἔδει Buss ‖ 18 ἐνψυχρά. O ‖ 19 δὴ U *ergo* V δὲ libri ‖ πέττει — 20 οὖσα om M ἐν δὲ — 20 ἱκανῶς om Br ‖ 23 ἀπὸ Br ‖ ὀγδοημερίου O ‖ 24 συμμένειν ci. Buss. σημένειν A σημαίνειν BrΔ ‖ 25 hiatum post u. κάθαρσις esse putauerat Buss ‖ 26 νυξὶ γυναιξὶ M ‖ ὥσθ' O ‖ 30 τὰ δὲ — χολή om V ‖ 31 γυμνασιῶν U γυμνασίων libri

εὐθὺς προσφέρομεν τροφήν; Ἢ ὅτι καθαίρεται τὸ σῶμα ἔτι καὶ οὐκ ἀναπέπαυται πονοῦν καὶ
ἀποκέκριται τὰ περιττώματα; ἔτι καὶ ἡ μεταβολὴ μεγάλη οὖσα ἀσύμφορον, γίγνοιτο δὲ
ρκγ μετὰ πολλὴν κένωσιν πλήρωσις ἀθρόως. Διὰ τί λέγουσι μὲν πάντες, σεμνύνονται δὲ οἱ
πλούσιοι ἐπὶ τῷ φαγεῖν ἢ πιεῖν ἡδέως, ἐπὶ δὲ ταῖς κενώσεσιν οὐκέτι· καίτοι οὐδὲν ἧττον ἡδύ,
ὅταν ἐπιθυμῇ τις, καὶ προσέτι ὠφέλιμον τὸ δεόμενον τυχεῖν καὶ λυπηρὸν τὸ μὴ τυγχάνειν;
Πότερον ὅτι κάθαρσις, ὥστ' ἐνδιατρίβειν τῷ λόγῳ ἀηδὲς περὶ αὐτῶν; Ἢ ὅτι οὐκ ἐφ' ἡμῖν,
ρκδ ἐκεῖνα δὲ ἐφ' ἡμῖν; Διὰ τί τοῦ θέρους μᾶλλον γίνεται χολὴ τῶν περιττωμάτων ἐλαττόνων
ρκε ὄντων; Διότι τὸ μὲν θερμὸν σηπτικόν, ἡ δὲ χολὴ ἐκ σήψεως. Διὰ τί οἱ χυλοὶ πάντων
οὕτω διαχωροῦσι μᾶλλον ἢ μετὰ τῶν φύλλων καὶ ῥιζῶν καὶ καρπῶν; Ἢ *** τῶν φύλλων
εἰσίν; ἐξῆκται δ' αὐτῶν τὸ θερμὸν εἰς τὸ ὑγρόν, τῶν μὲν ἑφθῶν ὑπὸ τοῦ πυρός, τῶν δὲ ὠμῶν
αὐτοὶ οἱ χυλοὶ ἔχουσι· διὸ οἱ μὲν ἰσχυροὶ καθαίρουσι τὰς κοιλίας, οἱ δ' ἀσθενεῖς λύουσι· καὶ
γὰρ οἱ τῶν φαρμάκων ὀποὶ μᾶλλον καθαίρουσι τῶν ῥιζῶν καὶ καρπῶν ἐξ ὧν εἰσι, καὶ οἱ τῶν
γαλάκτων ὀρροὶ ὡσαύτως μᾶλλον ἢ τὸ γάλα· τὸ γὰρ σαρκῶδες τοῦ γάλακτος ὅπερ γῆς ἐστι
μέρος παχύ ἐστι. σημεῖον δέ· οὐ γὰρ °ἂν° ηὐξάνετο τὰ ζῷα τῷ γάλακτι, εἰ μὴ σαρκῶδες ἦν·
νῦν δὲ οἱ μὲν ὀρροὶ οὐροῦνται μᾶλλον καὶ διαχωροῦσιν ὑπὸ λεπτότητος, αἱ δὲ σάρκες ὑπο-
λειπόμεναι αὔξουσι καὶ πηγνυμένων τῶν γαλάκτων τυροὶ γίνονται, ἑψομένων δὲ πυρὶ καὶ
ρκϛ ὀπτωμένων προσειομένων τε βούτυρος. Διὰ τί ἐναντίως ὁ λευκὸς καὶ ὁ μέλας ἐλλέβορος
καθαίρει; Ἢ ὅτι θερμὰ τὰ καθαίροντα; θερμῷ γὰρ ἅπαντα λύεται, ψυχρῷ δὲ πήγνυται 315
μᾶλλον. εἰ οὖν τὰ μὲν κάτω, τὰ δ' ἄνω καθαίρεται, ἀφομοιοῖ ἑκάτερον αὐτῷ τῶν φαρμά-
κων τὴν κάθαρσιν· βαρὺς μὲν γὰρ καὶ πυκνός ἐστιν ὁ μέλας, ὁ δὲ λευκὸς ἀραιὸς καὶ κοῦφος·
τὰ γοῦν ὑφ' ἑκατέρου τακέντα ὑγρὰ ὅταν αὐτοῖς ἀφομοιωθῇ, τὰ μὲν ὑπὸ τοῦ μέλανος βαρέα
καὶ πυκνὰ τὴν κάτω φορὰν ἔλαβεν, ἡ δ' ἀπὸ τοῦ λευκοῦ ἀραιὰ γενομένη καὶ κούφη εὐχε-
ρκζ ρῶς ὑπὸ τῆς προϋπαρχούσης θερμασίας ἀνηνέχθη. Διὰ τί τῶν τετραπόδων οὐδὲν ὑπὸ
ὑστέρας πνίγεται ἔχοντά τε καὶ ζῳοτοκοῦντα; Ἢ διότι μεγάλων ὄντων τῶν ἄνω πρὸς τοῖς
αἰδοίοις ἡ ὑστέρα ἐστὶ πᾶσι· διὰ δὲ τὸ πολὺ ἀπέχειν οὐκ ἀναβαίνουσιν ἄνω, διὰ δὲ τὸ
ρκη μὴ ἀναβαίνειν οὐκ ἀπολαμβάνουσι τὸ πνεῦμα, πνίγονται δὲ τούτου γενομένου; Διὰ τί τὰ
πιαινόμενα τῇ ὠμῇ λύσει τῶν αἰρῶν μιγνυμένων τάχιστα πιαίνεται; Διὰ τὸ τὴν μῖξιν ἔχειν
τινὰ λόγον· ἐὰν γὰρ λίαν πολὺ μιχθῇ, ἀποκτείνει. Ἢ ὅτι αἱ αἶραι βαρὺ ἔδεσμα καὶ καρη-
βαρεῖν ποιεῖ, τῷ οὖν καρώματι ὕπνον συνεχῆ ποιεῖ ὥσπερ ὁ μανδραγόρας, ὁ δ' ὕπνος πιαίνει

1 οὐκ ἀναπέπαυται U ex Ar. pr. v 28 οὐχ ἅμα περὶ αὐτὰ (αὐτὸ P) libri περὶ ταῦτα πονοῖεν ἂν ci. Buss. ‖ 2 fort. δ' ἂν ‖ 3 πλήρωμα Δ sc A ‖ 4 τῶν κενώσεων S ‖ ἡδύ om A ‖ 5 προσέτι U πρόσεστι τὸ BrΔ προσῇ τὸ Modenensis 144 ut coniecerat Bussem. ‖ 6 ἀηδὲς Moden. ‖ 6 et 7 ἡμῶν Moden. ‖ 7 μᾶλλον om A ‖ 8 διότι BrM: ἢ ὅτι Δ sc A ‖ 8 et 11 χιλοὶ M ‖ 9 hiatus signa posuit U ‖ 10 εἰσίν delendum putat Bussem. ‖ ὑγρόν; Ὅτι τῶν μὲν Δ sc A ‖ 'post πυρός aliquid deesse uidetur' Bussemakero ‖ 11 *purgantur — soluuntur* V ‖ 13 et 15 ὀρολ Δ ‖ 14 ἂν U om libri ‖ οὐ ηὔξανε A ‖ 16 παγνυμένων Br f. add. μὲν ‖ τοροὶ O ‖ 17 προσειομένων τε U cf. Plinius n. h. XXVIII § 133 sq. προσιεμένων τε Br προσσιεμένων δὲ A *et coagulato lacte* V om Δ ‖ βότυρος O ‖ 18 ἅπαντα om S ‖ 19 ἢ οὖν A ‖ quidni καθαίρει? ‖ ἀφ' ὁμοιοῖ A ἀφ' ὁμοία M *assimulatur* V ‖ ἑκατέρων A ‖ αὐτῷ Buss. αὐτῶν libri ‖ 19. 20 τῶν φαρμάκων αὐτῶν P ‖ 21 τὰ οὖν ΔSV ‖ τακέντα: τὰ κέντρα MR κέντρου SV ‖ τὸ μὲν AM ‖ f. ἀπὸ ‖ 22 ἔλαχεν P *naturam habent* V ‖ 23 ἀπὸ Moden. 144 ἀφ' Δ sc M ‖ 24 πν. ᾠοτοκοῦντά τε καὶ ζῳοτ. Moden. ‖ καὶ om AP ‖ 25 ἐστὶ: ἐπὶ Moden. ‖ 26 γινομένου ΔS ‖ 27 τῇ ὁμιλήσει SV ‖ αἰρῶν Buss. ἀέρων libri et V ‖ πεπαίνεται M ‖ διὰ δὲ τὸ Δ ‖ μίξιν libri ‖ 28 τὴν ἄλογον A ‖ ἀποκτενεῖ MS(O)V ‖ αἱ U om libri ‖ ἔραι P om M et relicto uacuo spatio R ‖ 28. 29 καρυβαρεῖν O

μάλιστα συνέχων τὰ σώματα;  Διὰ τί τῆς κόπρου ἡ τῶν βοῶν ἥκιστα δυσώδης τῶν τε- ρκθ
τραπόδων καὶ διπόδων; Πότερον ὅτι πέττεται μάλιστα (σημεῖον δ' ἡ λειότης), καὶ ὅτι ἁπλῆ
ἡ τροφή (ἄχυρα γάρ); ἡ δὲ ποικίλη δυσώδης, διὸ καὶ ἡ τῶν ἀνθρώπων δυσωδεστάτη. Ἢ ὅτι
σημεῖον ὅτι μάλιστα μηρυκάζει; τὸ γὰρ μηρυκάζειν ἐστίν, ὅταν μεταβάλλῃ ἐκ τῆς πρώτης
εἰς τὴν δευτέραν, διὸ καὶ λεῖον γίνεται τὸ περίττωμα. διὸ καὶ πλεῖστον χρόνον ἐν τῇ κοιλίᾳ
μείναντα ἥκιστα ὄζει, τὰ δὲ προσφατώτατα μάλιστα.  Διὰ τί τὰ Λιβυκὰ θηρία τοῦ μὲν ρλ
θέρους οὐ πίνει ὅτε μάλιστα δίψα γίνεται, χειμῶνος δὲ πίνουσιν ὅτε ἧττον διψῶσιν; Ἢ διὰ
τὸ μὴ γίνεσθαι ὕδατα τοῦ θέρους ἐν τῇ Λιβύῃ; συνήθεις γὰρ μὴ πίνειν· τοῦ δὲ χειμῶνος διὰ
τὸ γενέσθαι πίνει. ὃ οὖν ἐκεῖ εἴθισται, καὶ ἐν ἄλλοις τόποις ἐλθόντα τὸ ἔθος σώζει.  Διὰ ρλα
τί τὰ πλεῖστα τῶν τετραπόδων ῥᾷον τοῦ ὑγροῦ τὸ ξηρὸν περίττωμα προΐεται (ἀφοδεύει μὲν
γὰρ καὶ βαδίζοντα, οὐρεῖ δὲ ἐφιστάμενα τὰ πολλὰ αὐτῶν); Ἢ ὅτι τοῖς μὲν θήλεσιν ἡ μήτρα
τῆς κύστεως ἔμπροσθέν ἐστι, τοῖς δ' ἄρρεσιν οὔ; τῇ γάρ ξηρᾷ περιττώσει κατ' εὐθυωρίαν ἐστὶν
ἐκ τῆς κοιλίας εἰς τὴν ἕδραν ἡ φορά, διὸ ῥᾳδίως ἐκρεῖ· τὰ δ' οὖρα καὶ καμπὴν ποιεῖ τοῦ γοῦν
αἰδοίου εἰς τοὔμπροσθεν ἀνενηνεγμένου· ὁρμήσαντα οὖν ἐκ τῆς κύστεως τὰ ὑγρὰ καὶ προσπί-
πτοντα τοῖς καταντικρὺ τόποις ἀναχωρεῖ πολλάκις, ἂν μὴ ἐπιστάντα τὰ ζῷα τῷ πνεύματι
316 ἀναπώσῃ· διὸ καὶ οἱ ἱπποκόμοι ἐφιστᾶσιν ἐν τῷ οὐρεῖν τὰ ὑποζύγια. σημεῖον δέ· τὰ μὲν
θήλεα τῶν ἀρρένων ὑποζυγίων ἐστὶν οὐρητικώτερα διὰ τὸ τῇ ἕδρᾳ τὸ αἰδοῖον ἐν ταὐτῷ τόπῳ
κεῖσθαι· τῶν δὲ τετραπόδων τὰ μονώνυχά ἐστι δυσουρητικώτερα διὰ τό τε τοῦ οὔρου πάχος
καὶ διὰ τὸ χόρτον καὶ καρπὸν ἀργὸν ἐσθίοντα λάβρως ἐσθίειν· οὐ γὰρ λεαίνοντα τοῖς ὀδοῦσι
τὴν τροφὴν φυσᾶται τὴν κοιλίαν οἰδησάντων τῶν εἰσιόντων, ἧς διατεινούσης καὶ πνευματω-
θείσης οὐκ ἐμπίπτει δι' αὐτῆς τὰ ὑγρὰ εἰς τοὺς τῆς κύστεως πόρους. σημεῖον δὲ τό τε στραγ-
γουρίᾳ καὶ στρόφῳ ἔχεσθαι καὶ τὸ τοὺς ἰωμένους τὴν χεῖρα εἰς τὴν ἕδραν καθιέντας ἐκφέρειν
κόπρον· τοῦ γὰρ πνεύματος μετὰ ταῦτα ἐξελθόντος ἀνοίγονται οἱ τῶν ὑγρῶν πόροι. βοηθοῦσι
δὲ τῷ πάθει καὶ λούοντες καὶ συχνὰ ἐλαύνοντες· πάντα γὰρ ταῦτα ἀπορροὴν πνευμάτων
ποιεῖ ἀνοίγοντά τε τοὺς κατὰ σάρκα πόρους καὶ λεπτύνοντα τὰ ἐν αὐτοῖς ὑγρά. ἁλίσκονται
δὲ τοῖς εἰρημένοις πάθεσι μᾶλλον τῶν ἄλλων τὰ μονώνυχα καὶ διὰ τὸ δύσριγα εἶναι.  Διὰ τί ρλβ
τὰ ἄγρια θηρία μονόχρα; Ἢ ὅτι μᾶλλον ἁπλῆ ἡ δίαιτα, αἱ δὲ ταραχώδεις καὶ ποικίλαι διαθέσεις
χρωματίζουσι τὰ σώματα μᾶλλον; σημεῖον τούτου ἀλεκτρυόνες ὅτι πολύχροοι· παμφαγώ-
τατοι γὰρ τῶν ὀρνίθων.  Διὰ τί οἱ πυροὶ τοῖς τετράποσι δυσδιαχωρητότεροι τῶν κριθῶν; Ἢ ρλγ
διὰ τοὺς ἐχίνους; ταχὺ γὰρ λεαινόμενον τὸ ἄχυρον αὐτῶν λεπτυνόμενον ἔχεται ἐν τοῖς ἐχίνοις

4 σημεῖον ἡ μάλιστα A ‖ μυρικάζει et μυρικάζειν O ‖ μεταβάλῃ Δ sc A ‖ 5 διὸ om MS(O)V π. καὶ πλεῖστον. διὸ χρόνον Δ ‖ 6 μέναντα S μεῖναν OV ‖ τὰ λευκὰ S ‖ τὸ μὲν θέρος P ‖ 7 τὸν χειμῶνα P ‖ πίνωσιν A ‖ 8 ὕδατος M ‖ τὸ θέρος P ‖ γὰρ: nonne γίνονται? ‖ τὸν δὲ χειμῶνα P ‖ 9 ἐκεῖ om A ‖ ἤθισται S ‖ 9 sq. pr. cxxxi om MRSV Modenensis ‖ 10 ἀφιδεύει A ‖ 11 θήλεσι Br ‖ 12 τοῖς διαρρεύουσιν οὔ A ‖ ἡ γὰρ (μὲν A) ξηρὰ περίττωσις ΔOP quare haud scio an desint nonnulla ‖ 13 διὸ οὐ ῥᾳδ. ci. Bussem. ‖ τὰ δ' U τὰ libri. ‖ τοῦ οὖν ΔO ‖ 14 ἀνηνεγμένου ΔOP ‖ γοῦν ΔO ‖ καὶ om Δ ‖ 16 ἀναπώσῃ P: ἀνασπάσῃ O συναπτώσῃ A συναπώσῃ Bussem. ‖ ἐφιστᾶσι τὰ ὑποζύγια ἐν τῷ οὐρεῖν ΔO ‖ ὑποζύγια ὃ σημεῖον δὲ P ‖ 18 διά τε τὸ τοῦ O ‖ 19 καρπῶν A ‖ λεαίνονται P ‖ 20 φυσᾶ τε O ‖ 21. 22 στραγγουρίαν καὶ στρόφωσιν P ‖ 22 ἐφαιρεῖν pr A ἠφαιρεῖν a. m. A ἀφαιρεῖν Buss. ‖ 23 μετὰ ταύτης Δ ‖ ἐξελθόντας A ‖ ἀνοίγονταί θ' οἱ Δ ‖ 24 λούονται A ‖ συχνὰ ἐλαύνοντες U cf. Hippiatr. p. 111. 112. 149 συχνὰ λεαίνοντες O συνευλεαίνοντες P συνλεαίνονταις A συλλεαίνοντες Bussem. ‖ 26 μονόνυχα P ‖ 27 ἢ ὅτι om Br ὅτι om A ‖ μᾶλλον: ἄλλον A om Δ ‖ διαίτη Δ ‖ 28 χρωματίζουσαι A ‖ τοῦτο ἀλεκτρυόνων ΔP τὸ τῶν ἀλ. ci. Bussem. ‖ πολύχροα Δ ‖ 29 γὰρ om P ‖ 30 διὰ τὸ τοὺς M ‖ λεπτυνόμενον: *tenuissimum* V ‖ τῇ ἐχίνῃ P



Universitäts- und
Landesbibliothek Düsseldorf

διὰ τὴν τραχύτητα τῶν ἐχίνων· τῶν δὲ κριθῶν ἅμα συμπέττεται διὰ τὸ τῇ πέψει γίνεσθαι
ρλδ χρόνον πλείω. Διὰ τί τὰ μονώνυχα γηράσκοντα μείζους ἴσχει τοὺς ὀδόντας ὥσπερ τὰ
ἄλλα ἐλάττους; Ἢ ὅτι τε φύσει εὐαυξεῖς διὰ τὸ μὴ ἔχειν κέρατα, καὶ ἡ χρῆσις ὀλίγη ὑφ'
ἧς τρέφονται, καὶ ἐπιπαραλλάσσουσι τὰς σιαγόνας, οὐχ ὥσπερ ὁ ἄνθρωπος ἀρτίστομοι.
ρλε Διὰ τί οὔτε πώγωνα οὔτε δασεῖαν βλεφαρίδα ἔχει οὐθὲν τῶν τετραπόδων ὅσα μονώνυχά
ἐστιν; Ἢ ὅτι χαίτην ἔχει ταῦτα καὶ εἰς ταύτην καταναλίσκεται αὐτοῖς ἡ ὑγρότης ἐξ ἧς αἱ
τρίχες γίνονται; ἀδύνατον γάρ ἐστι τὴν περίττωσιν ταύτην κινεῖσθαι ἅμα εἰς τἀναντία ἢ ἐστι
ρλς τροφὴ τούτοις, ἀλλ' ἢ ἄνω ἢ κάτω καὶ ἢ πρόσθεν ἢ ὄπισθεν. Διὰ τί τὰ τοιαῦτα μονώνυχα
οἷον ἵπποι ἢ ὄνοι καὶ ὀρεῖς ἡνίκα ἂν γένηται, μένει καὶ οὐθὲν αὔξάνεται τὸ ἀπὸ τῆς ὁπλῆς
ἄνωθεν (μὴ συμβαλλομένης δὲ τῆς ὁπλῆς μένει ἕως τοῦ γόνατος καὶ τοῦ ὀπισθίου καὶ τοῦ
ἐμπροσθίου σκέλους), οἱ δὲ ἄνθρωποι τοὐναντίον· ἐπὶ τὰ κάτω γὰρ αὔξάνονται μᾶλλον; Ἢ
ὅτι τοὺς μὲν δεῖ ὀρθοὺς πορεύεσθαι· τὰ κάτω οὖν αὐξηθῆναι ἀνάγκη, ἵνα ῥᾷον φέρῃ τὰ ἄνω,
ἢ οὐκ ἀναστήσονται· κατὰ δὲ τοὐναντίον τὰ τετράποδα διατελεῖν, ὥστε τὰ ἄνω αὔξάνεσθαι 317
ἀνάγκη, τὰ δέ κάτω μένειν [ᾧ ἀναστήσονται ὀρθά]· ὥστε °διὰ° τὸ μὴ ὀρθὸν ἀνάγκη τοιαῦτα
γίνεσθαι; διὸ καὶ πωλία μὲν ὄντα ῥᾳδίως τὸ οὖς ξύονται τῷ ὀπισθίῳ ποδί, πρεσβύτερα δὲ γε-
νόμενα οὔ· οἱ δ' ἄνθρωποι ἀντεστραμμένως· οὐ γὰρ δύνανται μέχρις ἡλικίας τινὸς τὰ παιδία
ρλζ κύκλῳ θιγεῖν τοῦ ὠτός. Διὰ τί τὰ μὲν μονώνυχα τὸ ἀπορρέον ὕδωρ πίνει, τὰ δὲ δίχηλα
οἷον βόες τὰ συρρέοντα μᾶλλον; Ἢ ὅτι οἱ βόες χαίρουσι μᾶλλον τοῖς ἁλμυρωτέροις, διὸ καὶ
εἰς τὴν τροφὴν παρεμβάλλονται αὐτοῖς ἅλες καὶ συμμίγνυται ὁ τοιοῦτος χυμός· τὰ δὲ συρ-
ρέοντα ἔχει τὸ τοιοῦτον μᾶλλον (ὑπόστασιν γὰρ ἔχει, τὸ δ' ἁλμυρὸν ὑφίσταται διὰ τὸ βάρος)·
ρλη τὰ δὲ μονώνυχα τὰ γλυκέα μᾶλλον καὶ πίνει καὶ ἄλλως προσφερομένων χαίρει; Διὰ τί
αἱ ὕες πιαινόμεναι δυσριγότεραι γίνονται; Ἢ διότι καὶ οἱ παχεῖς ἄνθρωποι ὅσῳ ἂν μᾶλλον
παχύνωνται, πορρωτέρω γίνονται τοῦ οἰκείου θερμοῦ, ὅσῳ δ' ἂν μᾶλλον τοῦτο πάσχωσιν, εὐ-
ψυκτότερα τὰ ἔσχατα ἀνάγκη εἶναι, τὰ δὲ εὔψυκτα ταχὺ ἀνάγκη αἰσθάνεσθαι τοῦ ψύχους;
ρλθ Διὰ τί ἄνθρωπος μὲν οὐ χαλαζιᾷ οὐδὲ τῶν ἄλλων ζῴων οὐδέν, αἱ δὲ ὕες τοῦτο πάσχουσι;
Ληπτέον δὴ τὸ πάθος τί ἐστιν ἡ χαλάζησις· ἔστι δ' οἷον τοῖς ἀνθρώποις οἱ ἴονθοι, τοῦτο ταῖς

2 πλείω χρόνον Δ ‖ χοόνου O ‖ πλείονα P ‖ τὰ om S ‖ 3 ὅτι φύσει τε Moden. 144 ‖ 4 ἐπεὶ παραλλάττουσι A ‖ ἀρτιόστομον BrM Moden. ἀρτιστόματοι Δ sc A ‖ 5 οὐδὲν Moden. 144 ‖ μονωνόνυχα S μώνυχα M ‖ 6 ἔχει τοιαύτην P ‖ εἰς τὴν O ‖ αὐτῆς O ‖ 7 τὰ ἐναντία ΔS(P) ‖ 8 τροπὴ A ‖ ἀλλὰ καὶ ἢ O Moden. ἀλλ' (ἢ om) A ‖ καὶ om Δ (sc A) O Moden. ‖ τὰ τοιαῦτα S(O)V: τοσαῦτα P ταῦτα M οὖν τὰ Δ sc A ‖ μονόνυχα S ‖ 9 ἤ: οἱ A om S(O) ἢ ὄνοι om V ‖ ἢ καὶ P ‖ ὀρεῖς Bussem. ὄρνεις M ὄρνις AS(P) ὄρνιθες O *aues* V ‖ μένῃ P μὲν M ‖ αὔξανει P ‖ τὸ om O ‖ 10 συλλαμβανομένης Δ sc A ‖ δὲ post μένει add. Bussem. ‖ 11 αὔξονται M αὐξάνεται S ‖ 12 δεῖ ὀρθίους Bussem. *rectos — incedere oportet* V δι' ὀρθοῦ ὡς (ὃς A) libri ‖ *necesse fuit* V ‖ ἵνα om P εἶναι AM ‖ φέρῃ τὰ Bussem. cum V φέρηται ABr φαίνεται M ‖ 13 κατὰ U τὰ libri ‖ τὰ om Bussem. ‖ ὥστε ἄνω BrMV ‖ 14 ᾧ — ὀρθά (ὀρθῷ BrM) nec sana esse nec hunc in locum quadrare puto, et (siue non legit siue neglexit) om V ‖ διὰ U om libri *propter rectitudinem* V ‖ μὴ ci. Bussem. μὲν libri ‖ τοιαῦτα U ταῦτα ΔS(O) om P ‖ 15 πολία Br πολιᾶ M πολλὰ O ‖ μὲν ὄντα Bussem. μένοντα BrM *iuuenilia adhuc multa* V ‖ 16 τὰ — 17 κύκλῳ: an τῷ ποδὸς δακτύλῳ? ‖ 17 θίγειν BrM ‖ δὲ om Δ ‖ διχηλὰ Br M et sic ubique constanter fere libri mss., nisi fallor propter canonem Arcad. p. 53, 1 ‖ 18 ἁλμυροτέροις Br ‖ 19 ἅλες om ABrV ‖ συμμίγνυνται M ‖ 20 τοιοῦτο O ‖ 21 μονόνυχα Br ‖ προσφερόμενα BrΔ ‖ 22 καὶ om O ‖ οἱ ἄνθρωποι παχεῖς AP οἱ repetiuit Bussem. ‖ 23 πάσχουσι τοῦτο O τ. πάσχουσιν A ‖ 26 ῥηπτέον A ‖ ἐστι χαλάζωσις Δ sc A ‖ ἴωθοι S ut postea ‖ ταύταις ἦσιν A ‖ τοῖς S

Universitäts- und
Landesbibliothek Düsseldorf

ὑσὶν ἡ χαλάζησις ὧδε μετεστραμμένον· οἱ δ' ἴονθοί εἰσι μικροὶ δοθιῆνες, διότι πολλοὶ καὶ διεσπαρμένοι· μεγάλα γὰρ πολλὰ χαλεπώτερον ποιῆσαι καὶ πλείονος περιττώματος ἔργον, ὥστε πρὶν μερισθῆναι οὕτως ἕτερον ἂν νόσημα προσηγέρθη· γίνονται δὲ οἱ ἴονθοι οὔτε ὡς ἀρρώστημα οὔτε ὡς τῶν κατὰ φύσιν, ἀλλὰ τοῖς εὐτραφέσι μέν, τροφῆς δὲ φαύλης ὑπερβολῇ· διὸ γίνονται οὐ τῇ τυχούσῃ ἡλικίᾳ· οὔτε γὰρ παιδίοις οὔτε γέρουσι γίνονται ἴονθοι οὔτε τοῖς λεπτοῖς. τοῖς μὲν οὖν ἀνθρώποις, ὥσπερ εἴρηται, οἱ ἴονθοι γίνονται ἔξω διὰ τὴν λεπτότητα τοῦ δέρματος· τοῖς δὲ ὑσὶ γίνονται μὲν δι' εὐτροφίαν, διὰ πάχος δὲ τὸ τοιοῦτον ἔσω τοῦ δέρματος τρέπεται· εἰ δέ εἰσι δι' εὐτροφίαν, ὑπερβολῇ περιττώματος. ὥσπερ δὴ οἱ ἴονθοι φυσικαῖς ἡλικίαις γίγνονται, οὕτω τοῖς τοιούτοις τῶν ζῴων ἐγγίνονται αἱ χάλαζαι, ὅταν γένηται τὸ ἔτος ἔγκαιρον· τότε γὰρ ἥκιστα δύναται πέττειν ἡ ὗς τὴν τροφήν, τὸν δὲ ἄλλον χρόνον ῥᾷστα πέττει τῶν ζῴων· διὸ καὶ πιότατόν ἐστι καὶ τὴν προχώρησιν ἐξηλλαγμένην ποιεῖται [πλείστην]. σημεῖον δ' ὅτι χαλαζώδεις εἰσὶν αἱ ὑγόσαρκοι τά τε περὶ τὰ σκέλη καὶ τὸν τράχηλον καὶ τοὺς ὤμους, ἐν οἷς μέρεσι καὶ πλεῖσται γίνονται χάλαζαι. κἂν μὲν ὀλίγας ἔχῃ, γλυκυτέρα ἡ σὰρξ γίνεται διὰ τὸ εὐτροφίας εἶναι σημεῖον, ὥσπερ εἴρηται· ἐὰν δὲ πολλάς, ὑγρὰ λίαν καὶ ἄχυμος· ἄπεπτος γὰρ ἡ τροφὴ ἡ λίαν πολλὴ καὶ οὐ κρατεῖται ὑπὸ τῆς φύσεως. ἐκβάλλουσι γὰρ τὰς χαλάζας μάλιστα ταῖς τιφαῖς· ἔστι δὲ τοῦτο καὶ πρὸς τὴν τροφὴν χρήσιμον. ὥσπερ δὲ οὐδὲ
318 τοῖς παιδίοις γίνονται οἱ ἴονθοι οὐδὲ γέρουσιν, οὕτως οὐδὲ τοῖς χοίροις τοῖς γαλαθηνοῖς χάλαζα
οὐδὲ τοῖς νέοις εἰ μὴ σπάνιον καὶ τότε ἐὰν ἡ μήτηρ πολλὰς ἔχῃ· οὐ γίνονται δὲ ταῖς λίαν ρμ
γραίαις ὑσίν, ἀλλὰ ταῖς παλαιοτέραις. Διὰ τί οἱ ὕες μάλιστα τῶν ζῴων ἀφρὸν ἀφιᾶσι καὶ ὀχεύοντες καὶ μαχόμενοι καὶ πορευόμενοι, καὶ οἱ ἐνόρχεις μᾶλλον ἢ οἱ ἐκτομίαι; Ἢ ὅτι στενὸν ἔχει τὸν βρόγχον ὁ ὗς, ὡς δηλοῖ ἡ φωνή, καὶ φύσει πίων ἐστίν, ὥστε πυκνὸν τὸ πνεῦμα ὂν καὶ πολὺ δι' ὀλίγου ἔρχεται; διὰ μὲν οὖν τὸ ὑγρὸν εἶναι σιαλοχοεῖ θερμαινόμενον, διὰ δὲ τὸ στενόπνουν ἀσθματικόν· ἀφρὸς δ' ἐστὶ πνεύματος πυκνοῦ ἄνοδος ἐν ὑγρῷ, διὸ καὶ οἱ ἐπιληπτικοὶ ἀφιᾶσιν ἀφρόν· κατεχόμενον γὰρ τὸ πνεῦμα ἐν τῷ πνεύμονι πνιγόμενον ἀνάγει βίᾳ τὸ ὑγρόν. μαχομένοις μὲν οὖν ὁ θυμός, θέουσι δ' ἡ κίνησις, ὀχεύουσι δ' ἡ προθυμία ἐκθερμαίνει τὸ πνεῦμα καὶ ποιεῖ πυκνόν, τὸ δὲ πάχος διὰ τὴν στενότητα ποιεῖ πνιγμόν, ὁ δὲ πνιγμὸς ἀφρόν. Διὰ τί ὑσὶ καπρώσαις ἐάν τις προσχέῃ ὄξος εἰς τὰ αἰδοῖα, λήγουσιν ἐπὶ χρό- ρμα
νον τινὰ τῆς κάπρης; Πότερον ὅτι διὰ τὸν πόνον ἐκκόπτει τὸ ἀλγῆσαν τὴν ἐπιθυμίαν; δάκνει γὰρ προσχεόμενον. Ἢ ὅτι θερμότης αἰτία τοῦ πάθους καὶ ἡ φλεγμονὴ δ' ** ὑπέρθερμοι γίνον-

1 χαλαζώσαις A χαλάζωσις Bussem. ‖ μετετραμμένων A ‖ πολὺ A ‖ 2 διεστραμμένοι O ‖ 3 ἴονθος A ‖ 3. 4 οὐδ' bis Δ ‖ ἀρώστ. O ‖ 4 ὡς τὸν A ‖ εὐστραφέσι M ‖ δὲ om S ‖ 6 ἀνθρώποις om O ‖ οἱ om A ‖ 7 immo ταῖς ‖ γίνονται om M ‖ 7 διὰ — 8 εὐτροφίαν om A ‖ 8 εὐτραφίαν Br ‖ ὑπερβολὴ BrV ‖ δὴ U καὶ libri *autem* V ‖ οἱ om AS ‖ 9 τοιούτοις ζώοις P ‖ ἔγγιοντα A γίνεται P ‖ αἱ om Δ (sc A) S ‖ 10 δύναται μῦς πέττειν τὴν S ‖ ἡ ὗς U μῦς MS ὗς O om Δ sc A ‖ 11 καὶ πρὸς τὴν χώρισιν A ‖ τὴν om O ‖ πλείστην incl. U ‖ 12 τὸν om M ‖ 13 ὀλίγοις M ‖ 14 εὐτροφία A εὐτραφίας Br ‖ σημεῖον δ' ὥσπ. P ‖ δὲ om MS(O) ‖ πολλάς Bussem. cf. Arist. h. an. VIII 21 p. 603b 19 πολλὰ M πολλὴ A πολὺ Br ‖ καὶ διάχυλος Arist. ‖ 16 ταῖς τίφαις Bussem. cf. Arist. τὰ στίφα A ταῖς τιυφαῖς M τ. τροφαῖς Br *ob cibos* V ‖ ἔτι δὲ O ‖ 16. 17 οὐ τοῖς O ‖ 17 οἱ om Δ sc A ‖ γαθηνοῖς O ‖ χάλαζα om A ‖ 19 γραίοις P γεραίαις S ‖ 21 στενὸν ἐστι A ‖ ὁ ὗς, ὡς U ὁ ὗς P ἡ ὗς A ὡς S(O) ‖ φύσιν M ‖ 22 οὖν om MP ‖ σίαλον χέεται A ‖ δὲ om A ‖ 23 σθενόπνουν A στενόπουν MO ‖ 25 δὲ κίν. et δὲ προθ. Δ sc A ‖ 26 καὶ om P καὶ ποιεῖ om A ‖ δ. τ. θερμότητα M ‖ 27 προχέῃ A ‖ λέγουσιν O ‖ 28 τοῖς κάπροις O τῆς κάπρου M ‖ ὅτι om AP ‖ 29 καὶ ἡ BrM ἡ A καὶ Bussem. ‖ φλεγμονὴ δ' U (ita scriptor appellat quam Aristoteles ἔπαισιν τῶν αἰδοίων uocare solet cf. h. an. VI 18 p. 572b 26) φλέγμα οἱ δ' libri ‖ ** desunt quibus φλεγμονῆς uis explicabatur ‖ ὑπέρθερμοι (nisi praestat *ὥστε τὰ αἰδοῖα* ὑπέρθερμα) U ὑπὲρ θερμοῦ AP ὑπὸ θερμοῦ ceteri

Universitäts- und
Landesbibliothek Düsseldorf

ρμβ ται ταῖς ἐπιθυμίαις, τὸ δ' ὄξος σβέννυσι τὴν θερμότητα, τουτέστι τὴν αἰτίαν τοῦ πάθους; Διὰ
τί τὰ μὲν ἄλλα τετράποδα οἷον ἵπποι καὶ τὰ ὑποζύγια ἐκβάλλουσι τοὺς ὀδόντας καὶ
κύων περὶ ἑπτάμηνον καὶ αἶγες καὶ πρόβατα καὶ ἄνθρωποι, ὗς δὲ οὐκ ἐκβάλλει; Ἢ ὅτι
πλατὺ ῥύγχος ἔχει καὶ ἰσχυρόν; Ἢ ὅτι τοῖς ὀδοῦσι τοῖς ἐμπροσθίοις, οὕσπερ βάλλουσι μόνους,
ρμγ οὐ πονεῖ μόνου; τῷ γὰρ ῥύγχει ἐργάζεται. Διὰ τί ἡ ὗς ὀχευθεῖσα ἀφρὸν ἀφίησιν ἐκ τοῦ
στόματος; Ἢ ὅτι στενὸν τὸν φάρυγγα καὶ τὰς σύριγγας ἔχει, διὸ καὶ ὥσπερ πνιγομένης
αὐτῆς ἡ φωνή ἐστιν; ὅταν οὖν ἐν τῇ ὀχείᾳ διὰ στενῶν ἐπανίῃ τῶν πόρων °τὸ πνεῦμα°
ρμδ καὶ μεθ' ὑγρότητος, ἀφρὸς γίγνεται· μάλιστα γὰρ ἐν τοῖς τοιούτοις ἀφρίζει. Διὰ τί αἱ
ἄγριαι ὕες ἔλαττον τίκτουσι τῶν ἡμέρων; ἑπτὰ γὰρ τὸ πλεῖστον τίκτουσιν, αἱ δὲ τρισκαίδεκα.
Ἢ ὅτι πλεονάκις τίκτουσιν αἱ ἥμεροι διὰ τὴν εὐπορίαν τῆς τροφῆς καὶ τὴν ἀλέαν τῶν τόπων,
ρμε δι' αὐτὸ δὲ τοῦτο πλείω τίκτουσιν; Διὰ τί ἄρρενες μὲν ὕες ἄγριοι πολλοί εἰσι, κάπροι δ'
ὀλίγοι; Ἢ ὅτι κνησμὸς νέοις οὖσιν ἐμπίπτει εἰς τοὺς ὄρχεις διὰ μέγεθος; ξυόμενοι οὖν πρὸς
τὰ δένδρα ἐκθλίβουσι καὶ γίνονται οὓς καλοῦσι χλούνας, ὅθεν καὶ Ὅμηρος πεποίηκεν 'ὦρσεν
ρμϛ ἔπι χλούνην σῦν ἄγριον'. Διὰ τί ὕες πιαινόμεναι λειποτριχοῦσιν; Ἢ ὅτι πιαινόμεναι 319
σαρκοῦνται μᾶλλον, τοιαῦται δὲ πέττουσι μᾶλλον, °μᾶλλον° δὲ πέττουσαι ἔλαττον τὸ πε-
ρμζ ρίττωμα λείπουσιν, αἱ δὲ τρίχες ἐκ τῶν περιττωμάτων γίνονται; Διὰ τί οἱ ἄγριοι ὕες
ὡς ἐπὶ τὸ πλεῖστον πάντες μέλανές εἰσιν, οἱ δὲ ἥμεροι οὔ; Ἢ διότι οἱ μὲν ἀεὶ ἐν τοῖς ἕλεσιν
ὄντες ὑπὸ τοῦ βορβόρου μέλανες γίνονται (σημεῖον δ' ὅτι βάπτει ὁ βόρβορος· καὶ γὰρ αἱ
βακτηρίαι λευκόταται κατορυττόμεναι εἰς αὐτὸν μέλαιναι γίνονται)· τῶν δ' ἡμέρων ὀλίγοι
ρμη οὕτω διάγουσιν; Διὰ τί αἱ ὕες ἐὰν μὴ φθέγγωνται θηλαζόμεναι, οὐ προΐενται γάλα; διὸ
καὶ οἱ βουλόμενοι βδάλλειν αὐτὰς κεντοῦσιν. Ἢ ὅτι ἀποβιάζονται τῷ πνεύματι πάντα, καὶ
φθέγγεται πάντα κατέχοντα τὸ πνεῦμα· τὸ δὲ τῆς ὑὸς γάλα οὐ ῥᾳδίως ἐκκρίνεται (ὀλίγον
ρμθ γὰρ ὂν εἰς πολλοὺς διέσπασται μαστούς), ὥστε κατὰ τὴν ἔξοδον δεῖται βίας. Διὰ τί τῆς
ὑὸς οἱ πρῶτοι μαστοὶ οἱ πρὸς τὸ στῆθος εὔκρατοι πρὸς τὸ βδάλλειν καὶ οἱ ἐφεξῆς κατὰ λόγον,
διὸ καὶ ὁ γενόμενος εὐθὺς τῶν χοίρων ἐπὶ τὸν πρῶτον ὁρμᾷ καὶ ὁ ἀεὶ ἐχόμενος κατὰ λόγον,
καὶ θηλάζουσιν οὕτω γε, ἐὰν μὴ ὁ κρείττων βιάσηται; Πότερον ὅτι θερμότατος ὁ τόπος ὁ περὶ
τὰ στήθη καὶ αἴτιος καὶ τοῖς ἄλλοις τῆς θερμότητος (ἀρχὴ γὰρ οὗτος); ἐπεὶ δ' ἕλκεται
πλείστην τροφὴν ὁ θερμότατος καὶ πέττει μάλιστα, οὗτος δὲ μάλιστα τοιοῦτος, ἀνάγκη πλεῖ-
στον γάλα καὶ γλυκύτατον ἐνταῦθα εἶναι. Ἢ οὐ μόνον τοῦτο αἴτιον, ἀλλ' ὅτι τὸ μὲν γάλα
ἐστὶν αἷμα πεπεμμένον, ὁ δὲ τόπος ὁ περὶ τὰ στήθη αἷμα ἔχει πεπεμμένον καὶ καθαρώτατον

1 ταῖς ἐπιθυμίαις U τῆς ἐπιθυμίας libri γίν. τὰ τῆς ἐπ. ci. Buss. ‖ 3 ἑπτὰ μηνῶν A immo τετράμηνον cf. Ar. h. n. VI 20 p. 575$^a$ 6 ‖ ἄνθρωπος M ‖ 4 ἢ om AM ‖ βάλλ. μόνον P ‖ 5 ποιεῖ O ‖ ἀνίησιν A ‖ ἡ om BrM ‖ φάρ. ἔχει καὶ Δ sc M ἔχει om A ‖ 7 τὸ πνεῦμα U conl. p. 29, 21 om libri ‖ 9 *pauciores* V ἐλάττω ci. Bussem. ‖ τὸ om O ‖ 11 τοῦτο om ΔV ‖ πλεῖον A ‖ 12 γοῦν O Moden. 144 ‖ 13 ἐκθλίβουσι U cf. Ar. h. n. VI 28 p. 578$^b$ 4. ἐκφεύγουσι libri ‖ χλοῦνας S ‖ Ὅμ. Iliad. IX 539 ‖ πεποίηκεν om P ‖ ὦσεν BrM Moden. ὃς A ‖ 14 πιαινόμενοι Δ ‖ λιποτριχοῦσιν Δ ‖ 15 alt. μᾶλλον Buss. om libri ‖ 17 ὡς — πάντες BrV: πάντες ὡς ἐπὶ τὸ πλ. Δ ‖ αἱ μὲν S ‖ ἀεὶ διὰ τὸ ἐν τ. ἕλ. εἶναι Δ ‖ 18 ὄντες U οὖσαι Br ‖ μέλανες Buss. μέλαιναι libri ‖ σημεῖον — 19 γίνονται om A ‖ 18 βλάπτει M ‖ γὰρ om Δ ‖ 19 κατορ. δ' εἰς BrΔ ‖ γίνονται, σημεῖον δ' ὅτι βλάπτει ὁ βόρβορος, τῶν δ' O ‖ 20 οὗτοι A ‖ ὕες θηλαζόμεναι ἐὰν μ. φθ., οὐ OV ‖ 21 κιντοῦσιν A κινοῦσιν BrM ‖ πάντα τῷ πν. S ‖ 22. 23 ὀλίγον τε γὰρ Δ (sc A) P ‖ 23 (et sim. 24) μασθούς MS ‖ διέξοδον O ‖ 24 κατ' ὀλίγον A ‖ 25 γεννώμενος BrM ‖ ὁ ἀεὶ U ἀεὶ ὁ Buss. ὁ om libri ‖ 26 οὕτως Br οὗτος AM ‖ βιάσεται O ‖ θερμότερος S(O)V ‖ ὁ περὶ U *qui circa pectus* V ὁ om libri ‖ 27 τῆς ἄλλης A ‖ ἐπειδὴ δ' O ‖ 28 πέττεται P ‖ 29 γάλα ἐντ. εἶναι καὶ γλ. O ‖ ἢ ὅτι οὐ P ‖ 30 πεπαμμένον bis P ‖ ἔχει αἷμα S

Universitäts- und
Landesbibliothek Düsseldorf

(ἐνταῦθα γὰρ αὐτοῦ ἡ ἀρχή), ὥστε ἐν ᾧ τὸ αἷμα καθαρώτατον, ἐν τούτῳ τὸ γάλα ἄριστον εἶναι.

ρν Διὰ τί ἡ ὗς χαίρει τοῖς δυσώδεσιν; Ἢ διότι τὰ πλατύρυγχα οὐκ αἰσθητικὰ τὴν ὄσφρησιν, τὰ δὲ μὴ αἰσθητικὰ τοῖς δριμυτέροις χαίρει; τούτων γὰρ μάλιστα μόνων αἰσθάνεται. ταὐτὸ δὲ πάσχουσι καὶ οἱ διεφθαρμένοι τὴν ὄσφρησιν ὑπὸ δυσωδίας οἷον σκυτοδεψοὶ καὶ κοπρολόγοι.

ρνα Διὰ τί αἱ μὲν θήλειαι τῶν ἀρρένων *** ὥσπερ καὶ ἐν τοῖς ἄλλοις γένεσι τῶν ζῴων δειλότερον τὸ θῆλυ τοῦ ἄρρενος πλὴν ἄρκτου καὶ παρδάλεως· ὥστε διὰ τὸν φόβον κατ' ἐνίους θέουσι μᾶλλον ὥσπερ οἱ παρασείοντες τὰς χεῖρας καὶ οἱ ἀποβάλλοντες τὰ ὅπλα κἂν τι ἄλλο βάρος ἔχωσιν, οἱ δ' ἄρρενες ὡς ποιήσοντές τι· ὅμοιον γὰρ τῷ στρέφειν τὴν οὐρὰν τὸ φρίττειν ἐστίν.

ρνβ Διὰ τί χαλαζωθεῖσαι ὕες οὐ γίνονται παχεῖαι; Ἢ ὅτι τῆς τροφῆς ἧττον κρατεῖ τὸ σῶμα αὐτῶν; σημεῖον δ' ὅτι περίττωμα πλεῖον γίνεται αὐταῖς· αἱ γὰρ χάλαζαι 320 ἐκ περιττωμάτων εἰσί, πιαίνεται δὲ τὸ ἀπολαῦον τῆς τροφῆς μᾶλλον.

ργ Διὰ τί αἱ ὕες ὕπτιαι φερόμεναι σιγῶσι μᾶλλον; Ἢ ὅτι οὕτω φερόμεναι ἰσχύουσιν ἧττον φθέγγεσθαι μετὰ ἰσχύος· αἱ δὲ φύσει ἄφωνοι οὖσαι πλείονος ἰσχύος δέονται; ὅτι δὲ φύσει ἄφωνοι, δῆλον· εἰσὶ γὰρ ἔνιαι ἄφωνοι ὅλως ὕες.

ρνδ Διὰ τί αἱ ὕες ἀφοδεύουσι πρότερον ἢ οὐροῦσιν; Ἢ ὅτι καὶ τῶν ἀνθρώπων ὅσων εὔπεπτοι αἱ κοιλίαι; τῆς δὲ ὑὸς πεπτικὴ ἡ κοιλία μάλιστα.

ρνε Διὰ τί αἱ μὲν ἄγριαι ὕες ἅπαξ τίκτουσιν, αἱ δὲ ἥμεροι δίς; Ἢ ὅτι ἐκείναις μὲν ἁπλῆ ἡ τροφὴ γίνεται, καὶ ἅπαξ † βοτάνη, ταύταις δὲ ποικίλη καὶ πολλή, διὸ δὶς τίκτουσι τοῦ ἐνιαυτοῦ· ὥσπερ πλεονάκις δὶς καὶ τὰ πρόβατα διὰ τὴν εὖ δίαιταν;

ρνς Διὰ τί ἡ ὗς τοῖς δυσώδεσι χαίρει; Ἢ διὰ τὸ πλατὺν ἔχειν τὸν μυκτῆρα καὶ οὐκ ὀξύν, οὐκ αἰσθητικὸν εἶναι συμβαίνει πρὸς τὰς ὀσμάς; ὥσπερ °οὖν° οἱ Φρύγες τοῖς φαύλοις οἴνοις χαίρουσι, καὶ αὐτὴ ταῖς διεφθαρμέναις ὀσμαῖς καὶ σαπραῖς· αἱ τοιαῦται γὰρ ἅπτονται δριμεῖαι οὖσαι τῶν μὲν Φρυγῶν ὡς μεμολυσμένων διὰ τὸ ἀεὶ πίνειν, τῶν δὲ ὑῶν διὰ τὴν παχύτητα τῶν πόρων.

ρνζ Διὰ τί οἱ ἄτμητοι τῶν τομιῶν μείζους ἔχουσι τοὺς χαυλιόδοντας; Ἢ ὅτι αἱ θήλειαι ἐλάττους τῶν ἀρρένων ἔχουσιν, οἱ δὲ ἐκτετμημένοι μεταβάλλουσιν εἰς τὸ θῆλυ τὴν φύσιν [ὥσπερ ἂν θήλεις ἐξ ἀρρένων γινό-

1 ἡ αὐτοῦ S ‖ 2 ἡ om Δ sc A ‖ τοῖς πλατυρύγχοις A ‖ αἰσθάνονται A ‖ τὴν — 3 αἰσθητικὰ om S ‖ 2. 3 τοῖς ὄσφρησιν A τῆς ὀσφρήσεως MP τῆς αἰσθήσεως O ‖ 3 μόνων μάλιστα O ‖ μόνον M ‖ 4 τοῦτο Δ sc A ‖ σκυτοδέψαι M ‖ 5 deest et quaestionis de qua ex u. 8. 9 licet coniecturam capere pars maior et solutionis ‖ παρδέλεως Mod. 144 ‖ 7 θένουσι A om MSModen. ceterum cf. Arist. π. πορ. ζῴων 3 p. 705 a 17 ‖ pr. οἱ om MSMod. ‖ alt. οἱ om A ‖ 8 an ἄρρ. ἵστανται ὡς? ‖ ποιήσοντές τι U ποιήσοντες· τὸ (τεν O) libri nisi quod ποιήσοντες τὸ ὅμ.· τὸ γὰρ στρ. Moden. ‖ οὐρρὰν Mod. ‖ οὐρὰν καὶ τὸ P ‖ 9 φρίττον S ‖ οὐχὶ A ‖ 10 πλείω A ‖ αὐτοῖς S om A ‖ γάρ: δὲ A ‖ χάλαζαι ἐκ om A ‖ 11 εἰσὶ σημεῖον ἤγουν αἱ χάλαζαι A unde χάλ. περιττ. εἰσὶ σημεῖον, π. scripsit Buss. ‖ μᾶλλον ante τὸ ἀπ. collocat S ‖ 12 ἧττον U ἥττονα libri (ἥττονα Br) ἡττοιος Bussem. cum V ‖ φέρεσθαι A ‖ 13 φύσει ἄφωναι Δ ‖ πλείονος — ἄφωνοι om A ‖ οἰσὶ γὰρ A ‖ 14 ἔνιοι S ἔννοι A ‖ *prorsus* V ὡς ABr om Δ sc M ‖ αἱ om A ‖ ἀφοδεύσουσιν A ‖ 15 ὅσον O νόσων A ‖ δὲ om A ‖ 16 μὲν om A ‖ ἥμεραι Br ‖ ἐκείνοις Δ(S?) ὅτι μὲν ἐκ. AP ‖ ἡ U om libri ‖ 17 καὶ — βοτ. fort. διὸ ἅπ. βατεῦνται ‖ *unica herba* V ‖ τούτοις ΔS ‖ διὸ — ἐνιαυτοῦ cum V collocaui post πολλή: libri post 18 δίαιταν ‖ ὥσπερ U ὥστε libri ‖ 18 δὶς καὶ U καὶ διὰ BrM καὶ δὶς Δ ἢ δὶς ci. Buss. sed cf. Ar. h. an. VI 19 ‖ εὖ διαιταν M εὐδίαιταν Br (fort. εὐδιαιτίαν?) *opiparum uictum* V αὖ (αὐτὴν Buss.) δίαιταν A ‖ ἡ om Δ (sc A) O ‖ 19 καὶ om Δ sc A ‖ αἰσθητὸν M αἰσθητικῶς διάκειται ci. Bussem. ‖ εἶναι συμβ. P: εἶναι διακεῖσθαι O εἶναι διάκειται Δ διάκειται S ‖ τὰς om Δ (sc A) O ‖ 20 οὖν U om libri ‖ τοῖς om O ‖ αὐτοὶ ΔO ‖ 21 δριμεῖαι U διαι P διτταὶ Δ δριμ. οὖσαι om MRS(O?) ‖ τῶν μ. Φρ. om O τῶν μέντοι τῶν P τῶν μέντοι MR τῶν μὲν Δ sc A ‖ ὡς μεμολ. S: μεμολυσμένων PR μεμολυσμένης M τοῖς μεμολυσμένοις Δ (sc A) O ‖ 23 χαυλιόδ. O ‖ ἔχουσαι O ἔχουσι Δ ‖ 24 ὥσπερ — γινόμ. inclusi ut dittographiam ‖ *tanquam foeminae* V ὥσπερ ἀνήθεις Br ὥσπ. ἀήθεις M ὥσπ. ἀνήβεις (nempe ἄνηβοι!) Δ sc A

Universitäts- und
Landesbibliothek Düsseldorf

ρνη μενοι]; Διὰ τί τοῖς ὑσὶν οἱ χαυλιόδοντες γίνονται; Πότερον ὥσπερ τινὲς λέγουσι, διὰ τὸ
μὴ συμπίπτειν [οὐ τριβόμενοι] αὐξάνονται; ὥσπερ καὶ τοῖς ἀνθρώποις οἳ ἂν οὕτω φύωσιν ὥστε
παραλλάττειν τοὺς ὀδόντας, πολὺ μείζους γίνονται, οἷον καὶ τῷ γαλακτοπότῃ Σωστράτῃ με-
γάλοι ἐγένοντο διὰ τὸ μὴ τρίβεσθαι. °Ἢ° ὥσπερ καὶ τὰ κέρατα φύσις ἀπέδωκεν ἀλκῆς
χάριν καὶ βοηθείας, °διὰ° τοῦτο τοῖς ὑσὶ τοὺς χαυλιόδοντας; πάντα γὰρ ἔχει βοήθειαν ἀπὸ
τῆς φύσεως, ὥσπεροῦν ἔνια μὲν κέρασιν, ἄλλα δ' ὄνυξι, τὰ δ' ὀδοῦσι, καὶ τούτων τὰ μὲν
οὕτως ὡς τὰ καρχαρόδοντα, τὰ δ' ἀντὶ τούτου τοὺς χαυλιόδοντας ἔχει· ἅμα δὲ ταῦτα
ὑπάρχει οὐθενί. [καὶ ἔστι μεταξὺ ταῦτα τῶν κερασφόρων καὶ καρχαροδόντων, ὥσπερ καὶ αἱ
βάσεις πρὸς τὰς βάσεις] καὶ ἡ τροφὴ ἐκείνοις πρὸς τὰ κέρατα ** τοῦ εἰς τὸ ἔξω τοὺς ὀδόντας
τρέπεσθαι. σημεῖον δ' ὅτι χαυλιόδοντες ἀντὶ κεράτων εἰσὶ καὶ °οὐχ° ὅτι ἔτυχον οὐ τριβόμενοι
διὰ τοῦτο μεγάλοι, ἀλλ' ἕνεκά τινος· οἱ γὰρ τῶν ἐλεφάντων λεγόμενοι ὀδόντες οὐκ εἰσὶν ὀδόν-
τες ἀλλὰ κέρατα· ἀλλὰ [διὰ τὸ ἐγκεκλεῖσθαι] διὰ τὸ σχῆμα καὶ τὴν ὁμοιότητα καλοῦνται
ὀδόντες, καὶ οἵ γ' ἐν Καρχηδόνι ὡς κέρατα οὕτως ὀνομάζουσιν· ὅτι δ' οὐκ ὀδόντες εἰσί, δηλοῖ
ρνθ τὸ κάμπτεσθαι καὶ γλύφεσθαι, ὃ οὐχ ἕτερον τούτων πάσχει. Διὰ τί ποτε αἱ ὕες φρίτ-
τουσιν, ὅταν κυνηγῶνται; Ἢ ὅτι τῶν ἀγωνιώντων τὸ σῶμα συστέλλεται διὰ τὸ συνάγεσθαι 321
ὑπὸ τῆς προθυμίας °τὸ θερμὸν° καὶ βοηθεῖν αὐτῷ; καὶ αἱ τρίχες οὖν μᾶλλον ἑστήκασιν, εἰ
ρξ μὴ καταπεπτώκασι διὰ τὸ ἐκλελύσθαι. Διὰ τί τῶν μὲν προβάτων τὰ λεπτότερα
λεπτοτριχώτερα, τῶν δὲ ὑῶν αἱ λεπτότεραι παχυτριχώτεραι; Ἢ διότι αἱ μὲν διὰ τὸ φύσει
εἶναι παχεῖαι ἐμπίπλανται τοὺς πόρους ὅταν παχυνθῶσι, δι' ὧν ἐκπίπτουσιν αἱ τρίχες, ὥστε
ἧττον διαδύεσθαι δύνανται· τὰ δὲ πρόβατα διὰ τὸ πλείω τροφὴν ἔχειν ὅταν ᾖ παχέα ἢ ὅταν
ᾖ λεπτά, πλείονα τρίχα ἔχουσι καὶ παχυτέραν· ὅταν δὲ λεπτά, λεπτὴν ἀπὸ μικρᾶς τῆς
ρξα τροφῆς; ἡ γὰρ θρὶξ περίττωμά ἐστιν. Διὰ τί ὕες καὶ κύνες τυπτόμενοι τῶν βοῶν μᾶλλον
βοῶσι; Πότερον ὅτι καὶ ἄλλως μάλιστα λυπούμενα ταῦτα; Ἢ ὅτι τῶν ἄλλων °μᾶλλον° θυ-
ρξβ μώδη; δηλοῖ δὲ ἥ τε τῶν ἀγρίων ὑῶν ὁρμὴ καὶ ἡ τῶν κυνῶν ὑλακή. Διὰ τί οἱ ἵπποι
δυσουριῶσιν; Ὅτι ὅσα τὴν ξηρὰν ὑπόστασιν εὐχερῶς προΐεται, τὴν ὑγρὰν χαλεπῶς, οἷον πρό-
βατα καὶ ὕες, οἱ δ' ἵπποι οὐδὲν °ἧττον° τούτων· ὅσοι δὲ τὴν ὑγρὰν ῥᾳδίως, τὴν ξηρὰν ἐργω-
ρξγ δῶς· ὁ δὲ κύων ἄμφω χαλεπῶς. Διὰ τί τὰς ἵππους ἐν τοῖς ἱπποφορβίοις ἀποκείρουσι τὴν
χαίτην πρὸς τὰς ὀχείας; Ἵνα ταπεινωθεῖσαι ὑπομείνωσι τὴν ὀχείαν τῶν ὄνων. κομῶσαι γὰρ

1 (ut 7. 10) χαυλιώδ. O ‖ ταῖς O ‖ πότερον om M ‖ ὡς καίπερ A ‖ 2 οὐ τρ. incl. U ‖ φιλοῦσιν S *habuerint* V ‖ 3 πολὺ — 4 ἐγένοντο om S ‖ 3 πολὺ U ἢ οὐ (οὗ Buss.) libri ‖ γαλακτιπότῃ Δ ‖ f. Σωστρατίδῃ ‖ 4 ἐγίν. PR ‖ ἢ cum V Buss. om libri ‖ ἡ φύσις Buss. ‖ 5 διὰ τοῦτο U τοῦτο libri *sic* V οὕτω ci. Buss. ‖ ἔχειν A βοήθ. ἔχει Δ ‖ ὑπὸ BrM ‖ 6 ὥσπερ οὖν BrΔ οὖν et μὲν om A ‖ τὰ δ': ἢ Δ sc A ‖ τούτων om A ‖ 7 ὡς: ὥσπερ BrM ‖ ἀντὶ τούτων Δ sc A ‖ 8 ὑπάρχει οὐθενί U πανταχόθεν libri *utrimque* V ἁπαντᾷ οὐδαμόθεν ci. Buss. ‖ καὶ — 9 τὰς βάσεις incl. U ‖ καρχορ. Δ ‖ 9 καὶ ἡ — 10 τρέπεσθαι om M(OR)SV ‖ ἐκείνοις Buss. κενοῖς AP ‖ ** deesse nonnulla statui codicis P scriptura adscita: τούτοις πρὸς τοὺς ἔξω ὀδόντας τρέπεται A ‖ 10 καὶ οὐχ ὅτι ἔτ. οὐ Buss. *non autem quod non renatos esse contigerit eaque de causa ingentes* V καὶ ὅτι ἔτ. οἱ libri ‖ 12 ἀλλὰ διὰ — 14 πάσχει om M(OR)SV ‖ 12 διὰ — ἐγκ. incl. U ‖ διὰ post ἐγκ. om Δ ‖ καρχηδον P Cf. Iuba ap. Philostr. u. Apoll. II 13. Pausan. V 12, 2 ‖ 14 ὃ Buss. δ' P δὲ A ‖ αἱ om A ‖ 16 τῆς om Δ sc A ‖ τὸ θερμὸν U om libri ‖ αὐτῷ Δ αὐτοῦ A ‖ 16. 17 εἰ δὲ μή, Δ ‖ μὲν om Δ ‖ χαλεπώτερα M ‖ 18 λεπτοτριχότ. et παχυτριχότ. Δ ‖ ἢ om A ‖ 20 πλείονα Δ ‖ 21 λεπτὸν ἀπὸ Δ ‖ 22 γάρ: δὲ Δ sc A ‖ 23 λυπούμενοι Δ ‖ 23. 24 *animosiora* V θυμώδη BrM θερμότερον θυμώδη Δ sc A ‖ 24 ὑῶν om ΔP ‖ ὀργὴ ΔP ‖ ὑλακή P: ὑλάκτησις ΔS(O) ‖ οἱ U om libri ‖ 25 ὅσα om OP ‖ προΐενται P ‖ 26 ἧττον U om libri ‖ 27 χαλεπὸς Br ‖ τοὺς MS ‖ ἱπποφορβείοις Br ἵπποις φορβείοις A ‖ 28 *nempe ut* V f. ἢ ἵνα ‖ κωμῶσαι Br

Universitäts- und
Landesbibliothek Düsseldorf

οὐ θέλουσιν ὑπομένειν, τότε δὲ ὡς ὅμοιαι οὐκ ἀτιμάζουσιν. Διὰ τί οἱ ἵπποι ὅταν μὲν ρξδ
ἐκφεύγωσιν, οὐ κινοῦσι τὰς οὐράς· ὅταν δὲ γυμνάζωνται, πολύ; Ἢ ὅτι κίνησις τῆς οὐρᾶς διὰ
πόνον τοῦ σώματος ἢ διὰ κακίαν τῆς ψυχῆς; διὸ καὶ μαλακῶς ἔχοντες ἢ οἱ μαλακοὶ τὰς
ψυχὰς κινοῦσιν ἄκοντες (καὶ γὰρ βίᾳ πρὸς τὴν ἱππασίαν ἄγονται)· οἱ δὲ εὐγενεῖς οὔ, ἀλλὰ
ἀκινήτους καὶ ὀρθὰς ἔχουσιν· ἐν δὲ τῷ ἐκφεύγειν πάντες, ἅτε ἑκουσίως καὶ τῇ ψυχῇ ὁρμῶντες
εἰς τὸ πόρρω καὶ οὐδὲ ὑποδιστάζοντες, ὥστε εἰκότως ἀκίνητος ἡ οὐρά [ὀρθή]. Διὰ τί οἱ ρξε
μακρὰν ἔχοντες τὴν οὐρὰν [ἀσθενῆ] καὶ μὴ δασεῖαν ἐκ τῆς φύσεως κακοὶ τὰς ψυχὰς ὡς ἐπὶ
τὸ πολύ; Ἢ ὅτι σημαντικὸν ἡ οὐρὰ τοιάδε ἢ τοιάδε λεγομένη, λέγω δ' οἷον ὀρθὴ καὶ ἀνάσιμος
ἢ κινουμένη ἢ ἑστῶσα; τὰ μὲν γὰρ ἀρετῆς, τὰ δὲ κακίας σημεῖα. ἐπεὶ οὖν φύσει τοιοῦτοι οἱ
κακοὶ τὰς ψυχάς, εὐθὺς ἡ ἔκφυσις αὐτῶν ἀσθενὴς καὶ βραχεῖα, καὶ ἐν τῇ ἀρχῇ ἐνέλιπεν ἡ
φύσις· ὡς γὰρ μὴ δέον χρήσασθαι τούτῳ, ἢ οὐ προστίθησιν ἢ οὐχ ὅμοιον ὃ καὶ τοῖς χρησο-
μένοις, οἷον κέρας καὶ ὀδόντας [καὶ] ταῖς θηλείαις. Διὰ τί ὅλως σημαντικόν; Ἢ κοινότερον ρξς
322 τοῦτο πλειόνων; καὶ γὰρ ἐπὶ κυνῶν καὶ ὑῶν καὶ λεόντων καὶ ὅλως τῶν μαχίμων καὶ θυμω-
δῶν, καὶ τῶν ἀρρένων μᾶλλον ἢ θηλειῶν· τὰ μὲν γὰρ ὀρθὴν ἔχει, τὰ δὲ ἀπεστραμμένην,
ὥσπερ οἱ ὗες οἱ ἄρρενες· ὁ δὲ λέων καὶ τύπτει ἑαυτόν. αἴτιον δὲ πάντων ὅτι συνέχειά τις ἀπὸ
τῶν κυρίων τόπων τοῦ ζῆν, ἐν οἷς ὁ θυμός, εἰς ταύτην συνάπτει· συντεινομένων μὲν οὖν καὶ
θερμαινομένων ἐκείνων διικνεῖται πρὸς τὸ ἔσχατον, διὸ καὶ ἀποσημαίνει τὴν διάθεσιν· θαρρούν-
των μὲν γὰρ ὀρθή, τῶν δὲ ἀπεστραμμένων ἢ φοβουμένων ὑπειλημμένη καὶ ὥσπερ ἅμα τῷ
θυμῷ πεσοῦσα. Τὸ δ' ὅλον καὶ πρὸς εὐτολμίαν καὶ πρὸς ὕβριν καὶ φωνὴ ἔχει τινὰ δύναμιν
καὶ τόνον διὰ τὴν αὐτὴν αἰτίαν. Διὰ τί ἡ ἵππος ὀλιγοχρόνιος οὖσα τοῦ ἀνθρώπου πλείω ρξζ
χρόνον φέρει ἐν γαστρί; Συμβαίνει τοῦτο οὖν διὰ μίαν αἰτίαν· ἡ γὰρ ἵππος πολὺ λείπεται τῶν
μακροβίων ζῴων καὶ ὅτι ἀγονώτερον· μονότοκον γάρ. Διὰ τί τῶν μὲν ἵππων οἱ ἄρρενες ρξη
χρεμετίζουσι μᾶλλον τῶν θηλειῶν, τῶν δὲ προβάτων καὶ αἰγῶν τὰ θήλεα μᾶλλον βληχᾶται·
αὕτη δ' ἐν ἑκάστῳ φωνή ἐστιν; Ἢ ὅτι τῶν φωνῶν αἱ μέν εἰσι θυμικαί, αἱ δὲ ἄθυμοι; τὰς
μὲν οὖν θυμικὰς οἱ ἄρρενες μᾶλλον ἀφιᾶσιν (ἀνδρειότεροι γάρ), τὰς δ' ἀθυμοτέρας τὰ θήλεα·
οἷον κοκκύζουσι μὲν οἱ ἀλεκτρυόνες, κράζουσι δὲ αἱ ἀλεκτορίδες. ὁ μὲν οὖν χρεμετισμός ἐστι
φωνὴ θυμοῦ, ἡ δὲ βλήχησις ἀσθενείας, ὥστε εὐλόγως τὴν μὲν οἱ ἄρρενες τῶν ἵππων ἀφιᾶσι,
τὴν δὲ τὰ θήλεα τῶν προβάτων καὶ τῶν αἰγῶν. Διὰ τί τῶν ἵππων ἐάν τις μίαν ἢ δύο ἢ ρξθ
τρεῖς σπάσῃ τρίχας, πονοῦσιν; Ἢ διότι ἐκείνοις μὲν τιλμὸς γίνεται (κατὰ μίαν γὰρ ἑλκόμενον

1 οὐκ ἐθέλ. M ‖ 2 ἐκφύγωσιν BrM ‖ τὰς οὐρὰς διὰ A ‖ 3 πόνων O ‖ 4 οὐκ A ‖ 5 ἀκινήτους Buss. cum V εὐκινήτους libri ‖ ἔχοντας A ‖ ἅθ' Δ ‖ 6 *et porrecta* V [καὶ] ὀρθή Buss. ὀρθή incl. U ‖ οἱ: οὐ Br ‖ 7 f. μικρὰν cf. u. 10 βραχεῖα ‖ *et imbecillam* V καὶ ins. Buss. ego ἀσθ. inclusi repetitum e u. 10 ‖ καὶ: εἰ ΔOV ‖ δασεῖαι AM ‖ 8 σημαντικὴ P ‖ λεγ.: *effecta* V ‖ δ' οἷον MS(O)V: δ' ἡ Δ sc A δὴ P ‖ ἀνάσημος Br *nihil significans* V ‖ 9 ἡ κιν. Δ sc A ‖ ἡ ἑστ. Buss. ‖ 9. 10 τοι. οἱ κακοί U τοιοῦτον (δὲ add. M) ὁ κακοῖ libri ‖ 11 ὡς: ὃς A ᾧ Buss. ‖ μὴ δέον U μηδὲ libri ‖ τοῦτο Δ sc M ‖ ἢ οὐ — χρησομένοις: *aut non faciem ac positionem* (πρόσωπον κ̓ θέσιν) *aut non similitudinem habuit quae in usum ueniat* V ‖ 11. 12 χρησίμοις M ‖ 12 κέρας Buss. κερὸς A καιρὸς Br MV ‖ alterum καὶ incl. U ‖ immo διὰ τί δ' ‖ 13 ὅλων AM ‖ 15 ὗες καὶ οἱ S ‖ 18 ὑπειλημμένων A ‖ 19 πέττουσα (i. e. πεσσουσα) libri πίπτουσα ci. Bussem. *se accommodans* V ‖ εὐτολμίαν U εὐτονίαν libri ‖ φωνὴ Buss. φωνῇ libri et V ‖ 21 χρόνῳ A ‖ σ. οὖν τοῦτο P ‖ οὖν: an οὐ? ‖ 22 καὶ om Δ sc A ‖ ἀγονώτερον U ἀτονώτ. libri ‖ μονώτοκον O ‖ 23 μᾶλλον om Δ ‖ θηλέων Δ ‖ 24 αὐτὴ BrV ‖ 25 ἀνδρειότεραι Δ sc A ‖ 26 κοκκύζουσι S ‖ 27 οἱ om MS ‖ 28 τῶν ante αἰγ. om S ‖ 29 *laborant, sin autem multos non?* V ‖ ἑλκομένης ΔO



Universitäts- und
Landesbibliothek Düsseldorf

ἢ δύο τὸ δέρμα οὐκ ἀκολουθοῦν τῇ ἀντισπάσει τὴν ἀλγηδόνα ποιεῖ)· ὅταν δὲ ἀθρόας ἑλκύσῃ
ρο τις, οὐ γίνεται ὁ σπασμός; τὸ γὰρ δέρμα συνακολουθεῖ. Διὰ τί αἱ ἵπποι ὅταν σκυζῶσιν
ἐκτοπίζουσαι οὐ θέουσι πρὸς ἕω ἢ πρὸς ἑσπέραν, ἀλλὰ πρὸς ἄρκτον ἢ πρὸς μεσημβρίαν; Ἢ
ὅτι λέγονται ἐν τῇ τοιαύτῃ διαθέσει ἐξανεμοῦσθαι; θέουσι γὰρ πρὸς ἄνεμον· τούτου γὰρ αἴτιον
ὅτι θερμότης ἐστὶ τὸ πάθος καὶ δέονται καταψύξεως, ὥστε εὐλόγως πρὸς ἄρκτον τρέχουσι καὶ
πρὸς μεσημβρίαν· μάλιστα γὰρ καὶ πλειστάκις οἱ ἐντεῦθεν πνέουσιν ἄνεμοι· νότος γὰρ καὶ
ροα βορέας ἀεὶ κατέχουσιν, °οἱ δ' ἄλλοι° πνέουσιν ὀλιγάκις. Διὰ τί αἱ ἵπποι ἐὰν ὀχευθεῖσαι
βρεχθῶσιν, ἀνοχεύονται; Ἢ ὅτι συμβαίνει ψύχεσθαι ὑπ' αὐτοῦ καὶ ἠσθῆναι τὰ σώματα;
φρίττοντος οὖν τοῦ σώματος κωλύεται τοῦ συλλαμβάνεσθαι τὸ σπέρμα καὶ καταψυχόμενον
ροβ ὥσπερ ἀποθνήσκει φθειρομένης αὐτοῦ τῆς δυνάμεως· διὰ τοῦτο πάλιν δεῖται ὀχείας. Διὰ τί
τοῖς μὲν ἵπποις καὶ τοῖς ὄνοις ἐκ τῶν οὐλῶν φύονται τρίχες, τοῖς δὲ ἀνθρώποις οὔ; Ἢ ὅτι ἡ 323
οὐλὴ κωλύει διὰ τὴν πύκνωσιν ἢ διὰ τὸ φθίνειν τὴν τροφήν; τοῖς μὲν οὖν ἀνθρώποις παντελῶς
κωλύει διὰ τὴν ἀσθένειαν τῆς τριχός, τοῖς δ' ἵπποις οὐκ ἐκώλυε μέν, ἔφθειρε δέ, διὸ καὶ
λευκαὶ φύονται τούτοις· οὐκ ἐξῄει δὲ διὰ τὸ πλῆθος. [ἐπισκέψασθαι εἰ καὶ τοῖς βουσίν].
ρογ Διὰ τί παραπλησίων ὄντων τῶν ἵππων καὶ τῶν ὄνων κατὰ τὸν χρόνον τῆς κυήσεως (ἄμφω
γὰρ ἐνιαυτὸν φέρει καὶ μονοτοκά ἐστι) τὸν μὲν ἵππον ἀφιᾶσιν ἐπὶ τὴν ὀχείαν °ἀπ' ἐαρινῆς°
ἰσημερίας, τοὺς δὲ ὄνους πρὸ τροπῆς θερινῆς; Ἢ διότι οἱ μὲν ἵπποι θερμοὶ τὴν φύσιν, οἱ δὲ ὄνοι
δύσριγοι καὶ ψυχροί; σημεῖον δὲ τούτου· οὐ γὰρ γίνονται ἐν τῇ Σκυθίᾳ ὄνοι. ἐνιαυσιαίας οὖν
τῆς κυήσεως οὔσης ἀνάγκη γεννᾶν εἰς τὴν αὐτὴν ὥραν. τοῖς μὲν οὖν ἵπποις τὸ ἔαρ σύμμετρον·
οὔτι γὰρ σφόδρα ψυχρά, ἀλεεινὴ δέ, ὥστε διὰ ψῦχος μηδὲν πάσχειν. σκοποῦσι δὲ τὴν τῆς
ροδ ὀχείας ὥραν τίς ἐπιτηδεία πρὸς τὴν τροφὴν τῶν τέκνων πάντες. Διὰ τί τῶν μὲν ἵππων οἱ
ὀρθὰ τὰ σκέλη καὶ μικρὸν ἔχοντες τὸ μεσοκύνιον ἢ μέγα λίαν χωλοὶ γίνονται ταχέως, οἱ δὲ
μέσον ἀσφαλέστατοι; Ἢ ὅτι μικρὸν μὲν ὂν οὐ παρέχει ἔνδοσιν, ἀλλ' οἷον πληγὴ γίνεται·
ὅτον δὲ σύμμετρον, ἐνδίδωσι, καὶ γίνεται βάσις, οὐ πληγή· ἐὰν δ' αὖ μεῖζον τοῦ καιροῦ,
καταρρήγνυται πλείονος τοῦ βάρους ἐμπίπτοντος διὰ τὴν ἔνδοσιν; Διὸ καὶ αἱ χελῶναι ἀνό-
μοιαι, καὶ τῶν μὲν μικρὸν ἐχόντων παρεμπίπλαται τὰ σκέλη καὶ ἀνοιδεῖ, τῶν δὲ μέγα κα-
ροε ταρρήγνυται καὶ ἀφελκοῦται ὁ τόπος οὗτος. Διὰ τί ὁ ἵππος ἐὰν ἐμέσῃ, ἀποθνήσκει; Πό-

1 τὴν ἀλγ. S ‖ ἀθρόαν M *confertim* V ‖ 2 οἱ ἵπποι P ‖ σκύζωσιν BrΔ ‖ 3 ἐκτοπίζουσαι Bussem. ἐκτομίζουσαι libri *castratae* V cf. Arist. h. an. VI 18 ‖ πρὸς τὴν ἕω ἢ τὴν ἑσπ. Δ sc A ‖ quart. πρός om ΔP ‖ 4 διαθέξῃ A ‖ ἐξανομοῦσθαι Br ‖ 5 θερμότητος M ‖ ἐστὶν ὁ τὸ A ‖ 6 pr. καὶ om O ‖ ἐνταῦθα P ‖ πλέουσιν M ‖ 7 βορρᾶς Δ sc M ‖ οἱ δ' ἄλλοι Bussem. *alii uero* V om libri ‖ πνέουσιν U πνεῖν (ante οἱ δ' ἄλλοι) Δ πνέ'' P πο εἶν AR om S(O) (V?) ‖ 8 ψυχρᾶσαι S ‖ ὕεσθαι τὰ σ. Moden. 144 ‖ 9 κωλύεται U κωλύει libri ‖ τὸ σῶμα P ‖ 12 φθείρειν Ar. pr. x 29 ‖ 13 οὐ κεκώλυκε Δ ‖ δέ om A ‖ 14 λευκοὶ AM ‖ ἐξίει P *licet* (ἐξῆν) V ‖ f. διὰ τροφῆς πλῆθος ‖ ἐπισκ. — βουσίν incl. U ‖ ἐπισκήψασθαι AMS(P) ‖ βοῦσιν Br. ‖ 16 ἐστιν ὅτι τὸν AP ‖ *equam* V ‖ ἀπ' ἐαρινῆς U cf. Geopon. XVI 1, 3. Hippiatr. p. 55 om libri ‖ 17 ἰσημερίας Bussem. εἰς ἡμέρας libri *sub tempus* V ‖ τὰς Br. ‖ πρὸ τρ. θερινῆς Bussem. προτρέπεσθαι ῥίναις (ῥίνες A om SOV) libri *pastum* V ‖ 18 γίνεται ‖ 19 κινήσεως S(P)V ‖ ἵπποις καὶ τὸ A ‖ 20 οὔτι U οὔτε libri ‖ ψυχρόν P ‖ ἀλεεινός A ‖ ψυχῶν A ‖ πάσχει Δ sc A ‖ 22 τὸ Moden. 144 om BrΔ ‖ μεσοκύνιον U cf. Hippiatr. p. 262 ἐπισκύνιον Δ ἐπισκήνιον Br Moden. ‖ 23 μικρὸς μὲν ὢν MP ‖ 24 σύμμετρον Moden. σύμμετροι AMBr ‖ δ' αὖ ΔP: δ' οὖν S δὲ O Moden. ‖ μεῖζον Bussem. μείζω AMS (P) μείζων O Moden. ‖ 25 πλέονος Δ ‖ 25. 26 ἀνόμιαι O ‖ 26 καὶ τῶν Moden.: τῶν BrΔ ‖ μικρῶν S(O) ‖ παρεμπίπλανται Δ sc A παραπίμπλαται Moden. παραπίμπλανται Br περιπίμπλανται M

Universitäts- und
Landesbibliothek Düsseldorf

τερον ὅτι παρὰ φύσιν; Ἢ οὐ ταὐτὸ αἴτιον, ἀλλὰ σημεῖον ἑτέρου μείζονος; ὅτι γὰρ ἐπιθανάτως ἔχει ἐὰν ἐμέσῃ, οὐχ ὅτι ἐὰν ἐμῇ ἀποθνήσκει. Ἢ ὅμοιον ὅσοι ἐν τοῖς εἰλεοῖς ἂν ἐμῶσι κόπρον; καὶ γὰρ οἱ ἵπποι ἐν τοῖς αὐτοῖς πάθεσι· τοῖς μὲν οὖν τὸ ἐκ τῆς κάτω κοιλίας σπάσαι παρὰ φύσιν (διὸ καὶ κρατοῦνται τοῖς πάθεσι), τοῖς δ' ὅλως τὸ ἀνεμεῖσθαι. Διὰ τί ροϛ ὑπὸ διαρροίας ἐὰν ἁλῶσιν, ὡς ἐπὶ τὸ πολὺ ἀποθνήσκουσιν; Ἢ ὅτι μανὴ καὶ οὐ πυκνὴ ἡ σάρξ; σημεῖον δὲ καὶ τὸ εὐίδρωτα εἶναι καὶ ὅλως τὸ εὐκίνητον, πλείων οὖν ἡ σύντηξις ὁρμῆς γενομένης †παρὰ τοῖς ποσί. Διὰ τί οἱ πρεσβῦται ἵπποι τὸ κάτω χεῖλος προτείνουσιν; Ἢ ὅτι ροζ γηρασκόντων ἀνίεται ἡ φύσις, τὸ δὲ κάτω χεῖλος μεῖζον καὶ σαρκωδέστερον καὶ ἧττον πρὸς τῷ ὀστῷ; Διὰ τί οἱ ἵπποι θᾶττον οὐροῦσιν ἐν τοῖς μαλακοῖς χωρίοις ἢ ἐν τοῖς στερεοῖς; ροη
324 Πότερον ὅτι ῥαίνονται ἧττον, φεύγει δὲ τοῦτο σφόδρα; σημεῖον δέ, ὅτι διάγει ἐπὶ πολὺ τὰ σκέλη, καὶ ὅταν ὑποστρωννύηται μέλλων καθεύδειν ἀεὶ οὐρεῖ· οὐ γὰρ τέγγεται ῥανίσιν. Ἢ γίνεται μὲν καὶ τοῦτο, οὐ μὴν ἀλλ' ἔοικε μᾶλλον ἡ ἄνεσις τοῦ σώματος αἰτία εἶναι; συντεταμένον γὰρ οὐ προΐεται τὸ σῶμα, καθάπερ οὐδὲ πονοῦντα, ἀλλ' ὥσπερ καὶ δυσουριᾷ [ἐνθένδ' ἀνίησιν ἐν τῷ μαλακῷ]· τὸ δὲ στερεὸν ἀντίτυπον ὂν συντονίαν γεννᾷ. ἥ τε διαγωγὴ τῶν σκελῶν καὶ ἡ πρόσνευσις τῆς ὀσφύος εἰς τὴν πρόεσιν· ἅπαντά τε γὰρ σχεδὸν τοῦτο ποιεῖ, πλὴν ὅσα ῥᾳδίως οὐρεῖ· τὰ δὲ δύσουρα μᾶλλον εἰκότως τῶν ἄλλων. Διὰ τί οἱ ἵπποι καὶ οἱ ὀρεῖς καὶ ροθ ὅλως τὰ λόφουρα ἥκιστα δύνανται πεινᾶν; διὸ καὶ ὅταν κατακλεισθῶσι, τὰς θύρας καὶ τὰς φλιὰς καὶ ὅλως πᾶν ξύλον κατεσθίουσιν. Ὅτι ἔχουσι θηρίδια ἐν τῇ ἄνω κοιλίᾳ πολλὰ παρόμοια ταῖς πρασοκουρίσι. ταῦτ' οὖν ἐξαναλίσκει τε τὴν τροφήν, καὶ ὅταν μηκέτι ἔχῃ, τῇ κινήσει καὶ τῇ ξύσει τοῦ ἐντέρου πόνον παρέχει. παραπλήσιον δὲ τὸ συμβαῖνον τοῖς τὰς ἕλμινθας ἔχουσι τὰς πλατείας. Διὰ τί αἱ ἵπποι ῥᾷον φέρουσιν ἐν τῇ κυήσει ἡμίονον, καίτοι ρπ ἰσχυρότερον ἡ ἡμίονος; Ἢ ἴσως ἀληθὲς δι' αὐτὸ τοῦτο, καθάπερ καὶ αἱ γυναῖκες τὰ ἄρρενα τῶν θηλειῶν; ἰσχυρότερα γὰρ ὄντα μᾶλλον ἐξαναλίσκει τὰ περιττώματα, τὸ δὲ βαρύνεσθαι καὶ πονεῖν ἀπὸ τούτων. Διὰ τί οὖν ῥᾷον ἀπαλλάττουσαι οὐ δύνανται συνεχῶς φέρειν ρπα ἡμίονον; διὸ καὶ διαλείπουσιν, ὥσπερ νεὸν λείποντες. Ἢ ὅτι γηράσκει καὶ καταρρακοῦται τὰ σώματα θᾶττον ἰσχυροτέρων ὄντων, τοῦτο δὲ εὐλαβοῦνται; καὶ ἅμα τὸ μὴ δύνασθαι συνεχῶς

1 pr. ὅτι om P ‖ τούτου AMO ‖ ἐπιθάνατος A ‖ 2 ὅτι ἂν A ‖ ἀποθνήσκῃ O ‖ ἐλεοῖς S(P) ‖ 2. 3 ἀνεμῶσι Br ἀνεμοῦσι Δ ‖ 4 σπᾶσαι Br ‖ κρατοῦνται: ὠμοίωνται Δ sc A ‖ δ' U cum V: om libri ‖ τό: μὴ Δ sc A ‖ 5 οὐ om A Br(V?) ‖ 5 εὐίδρωτον O Bussemakeri caussa moneo εὐίδρωτα esse acc. sing. ‖ 6 ἀκίνητον M f. ἔνικμον ‖ 6. 7 γενομένης A ‖ 7 *a pedibus* V *confestim* (nempe παρὰ πόδας!) interpr. Bussem. exspectes μανοσάρκοις οὖσι. ‖ 8. 9 πρὸς τὸν ὀστῶν A ‖ 10 δὲ ὅτι U δὲ τὸ ΔS(O) τόδε τὸ AP ‖ διάγει U διάγειν libri ‖ 11 τέγγεται U γίγνεται Br γίνεται Δ ‖ ῥάνσις Bussem. *quod tum nulla aspergo sequitur* V ‖ 12 συντεταγμένον OV ‖ 13 προΐεται Bussem. προσίεται libri *dimittitur* V ‖ πονοῦντι Δ sc A ‖ δυσουριᾷ Bussem. δυσουρίαν libri *urinae gignitur difficultas* V ‖ 13 ἐνθ. — 14 μαλακῷ inclusit U ‖ 13 ἔνθεν δ' ἂν ἴησιν Br ‖ 14 συντονία AM ‖ γεννᾷ Bussem. τυνᾷ A τινὰ S(O) τινί M om P *quasdam uices correspondet* V ‖ fort. πρόνευσις ‖ πρόεσιν Bussem. πρόθεσιν libri ‖ 16 ἵππεις O ‖ ὄρνεις MS(P) ὄρνις O ὄρνιοις A ‖ 17 λοφοῦρα Bussem. λάφυρα MS(O) λοφηρὰ P λοφῆρα τὰ ἐκ τῶν λόφων A ‖ δύναται M ‖ κατακλασθῶσι S ‖ 18 φλοιὰς AS ‖ ὅλω A ‖ θυρίδια A ‖ 18. 19 προσόμοια P παρ. ταῖς om S ‖ 19 πρασοκ.: *indagantibus* V ‖ ταῦτ' οὖν: ταύταις A ‖ ἐξαναλίσκεται τὴν A ‖ τε τήν: τὶς τὴν S τε (om. τὴν) P ‖ 20 τὸ συμβαῖνον τοῖς U τοῦ συμβαίνοντος libri ‖ τάς: τοῖς Δ sc A ‖ 21 τὰς om Δ sc A ‖ τῇ om P ‖ 21. 25. p. 36, 2 ἡμίονοι Bussem. ἡμιόνων libri ‖ 21 *equos quam mullas* V ‖ 22 ἡ om Δ ‖ ἀληθές: an ἁπλῶς? ‖ 24 τούτου M ‖ 25 διὸ δὴ καὶ S(O)V ‖ διαλείπουσιν cf. Arist. h. an. VI 23 p. 577ᵇ 14 διαλυποῦσιν BrM ‖ νέον BrMV ‖ λείποντες U λιπόντες Bussem. ληποῦντες A λυποῦντες MS(O) *aegre ferentes* V λυποῦντα P ‖ καταρρακοῦνται M ‖ 26 ἅμα τῷ μὴ BrM ‖ συνεχῶς: f. add. φέρειν



Universitäts- und
Landesbibliothek Düsseldorf

τὸ ἰσχυρότερον ὥσπερ γῆν καρπὸν εὔλογον, ἀλλ' ὅταν τέκῃ, κουφότερον ἀπαλλάττειν. Τὸ δὲ
καὶ κυΐσκεσθαι ῥᾷον ἡμίονον, ὥσπερ Ἀλκίμαχος ἔφη τοὺς Κελτοὺς λέγειν, οὐκ ἀληθές· οὐ
γὰρ προσδέχονται τοὺς ὄνους ὅτανπερ ἀκμάσῃ ἡ ὁρμή, δυσχεραίνουσαι τὴν ὀσμὴν καὶ τὸ
ρπβ ἀσύνηθες· διὸ καὶ πολλαὶ δοκοῦσαι κύειν ἀναφαίνονται κεναί. Διὰ τί δὲ ῥᾷστα καὶ τά-
χιστα ἐκτιτρώσκει ἡ ἵππος; Ἢ ὅτι σφοδρότατον καὶ συντονώτατον, ὥσθ' ὅ τι ἂν πονῇ, πᾶν
ρπγ μετὰ βίας; ἐκ δὲ τῶν τοιούτων ἐκτιτρωσμός. Διὰ τί καὶ ἐνδίδωσι τάχιστα καὶ ἀναστρέ-
φεται τὸ σῶμα; Ἢ ὅτι μανὴ ἡ σάρξ; ταχὺ δὲ καὶ συμπίπτει καὶ ὀγκοῦται. Ἧπερ τοῦτο
αἴτιον, οἷον κατὰ τὴν κύνα καὶ τὴν αἶγα καὶ εἴ τι ἄλλο εὐκίνητον ἐπ' ἄμφω; Ἢ εἰ μὴ ταὐτό,
ρπδ ἐνδέχεται τοῖς ἑτέροις δι' ἄλλας αἰτίας. Διὰ τί οἱ μὲν ποικίλοι ἵπποι ὡς ἐπίπαν ἀγενεῖς,
τῶν δὲ φαλιῶν ἔνιοι γενναῖοι, καίτοι ἡ φαλιότης ποικιλία; Ἢ ὅτι ἐπ' ἔλαττον ἡ ἐξαλλαγή;
ἐν μικρῷ γὰρ τὸ φαλιόν, ὥστε ἡ ποικιλία διὰ τὸ ἀνώμαλον ἀγενεῖς ποιεῖ· τὸ μικρὸν γὰρ 325
ρπε οὐκ ἐνισχῦον ἧττον ἐξίστησιν. Διὰ τί οἱ πῶλοι κατακλίνονται μᾶλλον ἢ οἱ πρεσβύτεροι
ἵπποι; °Ἢ ὅτι ῥᾷον° καὶ ἀνίστανται καὶ κατακλίνονται οἱ νέοι τῶν πρεσβυτέρων· τοῦτο δ' ὅτι
τοῖς μὲν πολὺ τὸ βάρος, τοῖς δ' ὀλίγον· τὰ μὲν γὰρ κῶλα οὐκ ἐπαυξάνεται τοῖς ἵπποις, τὸ
ρπϛ δὲ σῶμα ἐπαυξάνεται. εὐφορώτερον οὖν τὸ σῶμα τοῖς νέοις. Διὰ τί τὸ τῶν ἵππων περίτ-
τωμα ὅταν γυμνάζωνται δυσωδέστερον; Πότερον ὅτι δυσέκκριτον κινεῖται ὑπὸ τῶν γυμνασιῶν,
ὥσπερ ὁ ἱδρὼς ἔξω, οὕτως εἰς τὴν κοιλίαν φαῦλοι χυμοί, οἳ ποιοῦσι τὴν δυσωδίαν (ὥσπερ
τοῖς καθαιρομένοις κάτω ὑπὸ φαρμάκου); Ἢ ὅτι πλείω προσφέρονται τότε καὶ ἧττον πέτ-
ρπζ τουσι, τὰ δὲ ἄπεπτα δυσωδέστατα καὶ σήπεται θᾶττον; Διὰ τί ἵππος καὶ ὄνος οὐρεῖ μετὰ
τὴν ὀχείαν; Ἢ διὰ τὸν πόνον; πονούντων γὰρ συρρεῖ εἰς τὴν κύστιν, πονεῖ δὲ ὄνος μὲν καὶ
ρπη ἵππος διὰ τὸ μέγεθος· βοῦς δὲ διὰ τὴν συντονίαν· τὸ γὰρ σύντονον ποιεῖ πόνον. Διὰ τί
ὄνος μὲν καὶ ἵππος ἐξουρεῖ τὸ σπέρμα, βοῦς δὲ οὐκ ἐξουρεῖ; Ἢ ὅτι τῷ μὲν πόρρω ἐξακοντί-
ρπθ ζεται διὰ τὴν συντονίαν, τοῖς δὲ ἐγγύς (ἅμα γὰρ προΐεται καὶ ἐξάγει); Διὰ τί τοῖς μὲν
ἵπποις καὶ τοῖς ὄνοις ἐκ τῶν οὐλῶν φύονται τρίχες, τοῖς δ' ἀνθρώποις οὔ; Ἢ ὅτι τοῖς μὲν
ἄλλοις ζῴοις ἐστὶ τὸ δέρμα μέρος τῆς σαρκός, ἀνθρώπῳ δὲ καθάπερ πάθος σαρκός; δοκεῖ γὰρ
αὐτῆς τὸ ἐξ ἐπιπολῆς καταψυχόμενον στερεώτερον γίνεσθαι, καθάπερ τῶν ἑφθῶν ἀλεύρων αἱ
γραῖαι καλούμεναι· ἐπεὶ οὖν κἀκεῖναί εἰσιν ἄλευρον ἑφθόν, καὶ τὸ τοῦ ἀνθρώπου καλούμενον

1 *huberem fructum* V ‖ ἀπαλλάττειν U ἀπαλλάττει libri ‖ 2 ἀλκίμαχος O ‖ 3 ὅταν παρακμάσῃ BrΔ (παρακμάσωσι ci. Bussem. deleto πῶς μή) ὅτι παρακμάσει A ‖ ἡ ὁρμή U πῶς μὴ BrM παῦσμη A. Sed fateor talem exspectari sententiam qualis est Aristotelis l. s. p. 577$^{b}$ 16 ἐὰν μὴ τύχῃ τεθηλακὼς ὁ ὄνος ἵππον, cf. Hippiatr. p. 56 ‖ δυσχεραίνουσι A ‖ 4 πολλὰ MO fort. πολλάκις cum V ‖ κύειν: ἔχειν Δ sc A ‖ 5 σφοδρώτ. S ‖ ποιῇ P ‖ 7 μόνη ABrV ‖ δὲ om S(O)V ‖ συμπίνει M ‖ ἧπερ: *si modo* V ‖ 8 οἷαν AMO ‖ κατὰ U καὶ libri *in cane* V ‖ εὐκίνητον U *quod — facile moueatur* V συγκινητὸν libri ‖ ταὐτό U ταῦτα S(P) ταῦτ' ΔO ‖ 9 ἐνδέδεται ΔP ‖ ἑταίροις S ‖ ἐπὶ πᾶν Br ‖ 9 et 11 ἀγεννεῖς Δ ‖ 10 φαλίων et 11 φαλίον Br ‖ 10 φαλιώτης O ‖ ποικιλία U ποικιλότης libri ‖ ἡ ἐξαλαγεῖ A ‖ 11 σφαλιόν A ‖ 12 ἐξανίστησιν MS(O) *aduersatur* V ‖ 13 ἢ ὅτι ῥᾷον U *nempe quod — facilius* V om libri ‖ τοῦ δ' ὅτι S(P) ‖ 15 εὐφορώτατον S(O)V ‖ 16 *utrum quod ualde egestibilis* V ‖ κινεῖται U (fort. ἐκκρίνεται) τε γίνεται BrM γίνεται Δ sc A ἐστιν O ‖ γυμνασίων BrΔ ‖ 17 ὁ ἱδρὼς ἔξω: ἐν ἄλλῳ τόπῳ Δ sc A ‖ 17 φαῦλοι οἱ χ. M κοιλίαν· φαῦλοι [γὰρ] χ. Bussem. ‖ ὥσπερ — φαρμάκου transposuit U post χυμοί collocant libri ‖ 18 προφέρ. V ‖ 19 quidni δυσωδέστερα? ‖ τί ὁ ἵππος καὶ ἡ ὄνος P ‖ 20 πονεῖ ὄνος M ‖ 22 καί: ἢ BrM ‖ 22 ἢ ὅτι — 24 ὄνοις om M ‖ 22 τῷ U τοῖς libri *a tauris* V ‖ 23 προΐεται U *emittunt* V ποιεῖται Δ ποιεῖ Br ‖ 25 ἀνθρώπῳ U conl. Arist. probl. x 27 ἀνθρώπων libri ‖ πάθος U ex Arist. πάχος libri (nisi quod μέσος σαρκὸς ἢ πάχος A) et V πάγος Bussem. ‖ 26 αὐτοῖς AV ‖ ἐξ om Arist. ‖ ἑφθῶν καὶ ἀλ. S

Universitäts- und
Landesbibliothek Düsseldorf

δέρμα σάρξ ἐστι. τραυματισθέντος δὲ ἢ τριβέντος ἀνθρώπου συμβαίνει τὴν σάρκα φθείρεσθαι
καὶ πυκνοῦσθαι· διὸ ἠλλοιωμένης τῆς ἐπιπολῆς σαρκὸς οὐ τὴν αὐτὴν ἐπίφυσιν λαμβάνει τὰ
τραύματα ἥνπερ καὶ ἐκ γενετῆς· ἀλλοιωθείσης δὲ αὐτῆς μὴ γίνεσθαι ἔτι τὸ ἐξ αὐτῆς οὐδὲν
ἄτοπον, καθάπερ καὶ ἐκ τῶν ἀλωπεκιῶν καλουμένων· καὶ γὰρ τῆς ἐπιπολῆς σαρκὸς φθοραὶ
καὶ ἀλλοιώσεις εἰσί. τῶν δ' ὑποζυγίων τριβέντων καὶ ὑγιαζομένων πάλιν ἀναπληροῦται τὰ
νοσώδη μέρη τοῦ σώματος τῶν αὐτῶν μέν, ἀσθενεστέρων δὲ ἢ ἐξ ἀρχῆς. ἐπειδὴ δ' ἐστὶ καὶ
τὸ δέρμα μέρος αὐτῶν, γίνοιντο ἂν καὶ φύοιντο τρίχες, λευκαὶ δὲ φύονται διὰ τὸ τὸ δέρμα
ἀσθενέστερον γεγονέναι τοῦ ἐξ ἀρχῆς καὶ τὴν λευκὴν ἀσθενεστάτην εἶναι τρίχα. Διὰ τί ρϙ
°εἰ° ἐπὶ τὰ τῶν ἵππων ἕλκη κριθὰς κατακαύσαντες καὶ λεπτύναντες ἐπιπάττουσιν, οὐ λευκὰς
ἀναφύουσιν αἱ οὐλαί, ἀλλ' ὁμοιοτάτας ταῖς πρότερον, ἄν τε μέλας ὢν τύχῃ ἄν τε ξανθὸς
326 ἢ ὁποιοσοῦν ᾖ; Ἢ ὅτι λευκαὶ διαφθειρομένης τῆς τροφῆς καὶ τῆς ἀρχῆς ὅθεν ἡ ἔκφυσις,
αὕτη δὲ φθείρεται διυγραινομένη καὶ λεπτύνουσα τὸ δέρμα, τὸ δὲ τῆς κριθῆς κατάκαυμα ξη-
ρὸν ὂν ἐξαίρει καὶ ἀναλαμβάνει ταύτην, ὅθεν ἐξομοιοῖ τὸ δέρμα τῷ ἄλλῳ, συνεξομοιωθέντος
δὲ καὶ ἡ ἔκφυσις ὁμοία; καὶ γὰρ τοῦ δέρματος ἡ ἔκφυσις. Διὰ τί οἱ ἵπποι κατὰ τὴν ρϙα
ἕδραν ἐν τοῖς †ποταμοῖς ἀποπνίγονται; Ἢ ὅτι εὐρὺ τὸ ἔντερον ἔχουσι τὸ ἀπὸ τοῦ ἀρχοῦ;
δηλοῖ δὲ ὅτι εὐμαρῶς ἀφοδεύουσι βαδίζοντες· πληθύοντα °δὲ° τὴν ἕδραν διαδώσει εἰς τὴν
κοιλίαν, ἧς ἐπαιρομένης θλιβομένη ἡ ἀρτηρία ἀποπνίγει. Διὰ τί τὰς ἵππους καὶ τὰς ὄνους ρϙβ
ὅταν ὀχευθῶσι, διώκουσιν; Ἢ ὅτι οὐροῦσιν εὐθύς; συμβαίνει οὖν ἐξουρεῖν τὴν γονήν.

Appendicis loco ex Alexandri quae inscribuntur ἐπί τισιν ἀπορίαι καὶ λύσεις haec duo problemata nondum edita adicio:

Διὰ τί οὐ φαίνεται πληθυνομένη ἡ θάλασσα καίπερ πάντων ποταμῶν εἰς αὐτὴν ἐμβαλλόν- 45
των; Ὅτι διὰ τὸ ἐκτετάσθαι ἐπὶ τὸ πλάτος τὴν θάλατταν πολύ τι αὐτῆς διαφορεῖται καθ' ἡμέ-
ραν ἄνωθεν μὲν ὑπὸ τοῦ ἡλίου ἐξατμιζομένης, κάτωθεν δὲ ὑπὸ τῆς γῆς ἀναπινομένης· διὰ γὰρ
τὴν πολλὴν αὐτῆς διαφόρησιν οὐχ ὁρᾶται πλήθουσα, εἰ καὶ πάντες οἱ ποταμοὶ εἰς αὐτὴν ἐμ-
βάλλουσι. Πῶς ὁ Ἀριστοτέλης ποτὲ μὲν ὑγρὰν καὶ θερμὴν τὴν ἀτμίδα λέγει, ποτὲ δὲ ὑγρὰν 46
καὶ ψυχράν; Καὶ λέγομεν ὅτι ὑγρὰ καὶ ψυχρά ἐστι κατὰ φύσιν (τοιοῦτον γὰρ καὶ τὸ ὕδωρ),
ὑγρὰ δὲ καὶ θερμὴ κατὰ συμβεβηκός, ἐπειδὴ ἐπίκτητον ἔχει τὴν θερμασίαν ὥσπερ τὸ ὕδωρ.

1 ἐστι: εἶναι P itaque fort. scrib. ἂν εἴη cum Arist. ‖ ἢ: καὶ Δ sc A ‖ 2 διὸ ἠλλ. U ex Arist. διηλλ. libri διηλλ. δὲ Bussem. *Carnis porro superficie immutata* V ‖ οὐ om S(O)V ‖ ἐπίφυσιολαμβάνει O ‖ 3 τὸ U ex Ar. om libri *pili* V ‖ 4 ἐκ: αἱ M ‖ γὰρ αὗται τῆς Arist. ‖ 6 νοσώδη Br: δυσώδη M νοσήματα A νενοσηκότα Buss. ex Arist. *quae aegrotauerant* V ‖ ἢ om S ‖ 7 μέρος αὐτῆς P ‖ γίνοιντο U ex Arist. γίνοιτο libri ‖ φύοιντο U ex Arist. φύονται P φύον Br φῦον ΔV ‖ τρίχες P: τρίχας ceteri ‖ διὰ τὸ δ. M ‖ 9 εἰ V Bussem. om libri ‖ κριθὴν P ‖ ἐπιπάτουσιν O ‖ λευκὰς U λευκαὶ libri ‖ 10 ἀναφύουσιν U ἀναφύονται ΔV γίνονται διαφυόμεναι S καταφαίνονται OP ‖ αἱ om Δ sc A ‖ ὁμοιοτάτας U ὁμοιόταται libri ‖ ταῖς προτέραις OP τῶν πρότερον A ‖ τύχῃ: interciditne ὁ ἵππος? ‖ 11 Ἢ U om libri ‖ λευκαὶ U λευκὴ libri ‖ καὶ om M ‖ 14 ἡ post καὶ om A ‖ immo δέρμ. ἔκφυσις αἱ τρίχες. ‖ 15 fort. ἐν ταῖς πλησμοναῖς ‖ εὐρὺ om AM post ἔντερον e coni. posuit Bussem. ‖ τῆς ἀρχῆς APV ‖ 16 εὐμαρῶς: ἀβαρῶς Δ sc A ‖ βαδίζοντες U βαδίζοντα Br om Δ ‖ πληθύοντα δὲ U πολὺ ὄντα libri πολὺ οὖν τὰ κατὰ Bussem. ‖ διαδώσει U διαδώσειν BrM διαδῶσιν A διαδίδωσιν Bussem. ‖ 17 τοὺς ἵππους AOP ‖ 17. 18 τὰς ὄν. τὰς ὀχευθείσας M ‖ 18 Ἰατρικαὶ ἀπορίαι περὶ ζώων καὶ τετραπόδων βιβλίον δ̄ subscriptum est in P ‖ 21 Cf. Arist. meteorol. II 2 p. 355 b 20 ‖ καίπερ U καίτοι libri ‖ 22 περὶ τὸ πλ. libri ‖ τῆς θαλάττης libri ‖ 23 ἐξατμιζομένη et ἀναπινομένη libri ‖ 26 καὶ λέγει ὅτι Bodl. ‖ contraria Aristoteles meteor. I 3 p. 340 b 27 ἔστι γὰρ ἀτμίδος μὲν φύσις ὑγρὸν καὶ θερμόν ‖ 27 δὲ U om libri.

Universitäts- und
Landesbibliothek Düsseldorf

## Scriptores in his problematis memorantur hice

Alcimachus p. 36, 2
Aristoteles 37, 25
comicus incertus 17, 25
Empedocles 22, 9
Heraclitus 11, 16
Hippocrates 1, 6. 9. 3, 17
aphorism. 1, 10. 21-26. 2, 2
Homerus 30, 13
? ἐν τοῖς Μηχανικοῖς 15, 11
Plato (?) 1, 27
Theognis 6, 3

## Leguntur in problematis a me editis quae in lexicis frustra quaesiui haec uerba:

ἀναπωθέω p. 27, 16
ἀνοχεύομαι 34, 8
ἀπηυθυσμένον ἔντερον 8, 31
ἀπνευστισμός ex em. Bussem. 12, 10; fort. scribendum etiam ἀπνευστίζῃ 13, 22
? ἀποπνέω ex coni. Bussem. (= φῦσαν ἐκκρίνειν Alex. pr. I 33) 8, 31
ἀπορρήγνυμι (-μαι) τὴν φωνήν 20, 25. 27. ἀπορρήγνυται ἡ φωνή 10, 22. 20, 25; cf. (Arist.) περὶ ἀκουστῶν p. 804 b 11. Bojes. de Ar. probl. p. 68
καρπὸν ἀργόν 27, 19
? ἀρτιόστομος (libri) 28, 24
ἀσθμός 21, 20
δυσουρητικός 27, 18
ἐξικμής 17, 1
ἐπεισήκω ex mea coni. 3, 25
εὐδιάρρυτος 4, 4
Ζώνυσος 20, 8 cf. Ζώνυξος Lobeck. pathol. prol. p. 417
κάπρη 29, 28
κάρωμα 26, 29
κολικός 4, 29
λειποτριχέω 30, 14
λεπτόπορος 13, 16 (simul lexicis addatur ἀραιόπορος Alex. probl. I p. 253, 4. 6. 283, 23 Sylb. cet.)
λυγγιάω (λυγγάω libri) 23, 20
† ναυτίασις (libri) 22, 17
uerborum in νυμι formae: ἀπορρηγνῦσι 20, 25. δεικνῦσι 6, 25. πταρνῦντο 13, 18
? νωδοῦνται 4, 18
† παραπίμπλημι (libri) 34, 26
πέττω: πεπαμμένον (cod. P) 30, 30
† ποικιλότης (libri) 36, 10
προβατοειδής 6, 27
προσκολάπτω 7, 23
? σκοτοδίνησις (cf. praef. adn. 8) 10, 16
† ὑλάκτησις (libri) 32, 24
ὑποδιστάζω 33, 6
φαλιότης 36, 10
φυσικαῖς ἡλικίαις 29, 8
χαλάζησις 28, 26. 29, 1
χαλβανόριον μέλι 2, 29

Universitäts- und
Landesbibliothek Düsseldorf